οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι] 'those who frame amendments in the assembly,' i. e. upon the *probouleumata* brought down from the Council. The force of the following words will be at once evident from an inscription in Boeckh (No. 84): *τὰ μὲν ἄλλα καθάπερ τῇ βουλῇ, ἀναγράψαι δὲ Φανόκριτον τὸν Παρίανον πρόξενον καὶ εὐεργέτην αὐτὸν καὶ τοὺς ἐκγόνους ἐν στήλῃ λιθίνῃ*. The honours decreed by the Council to this Phanocritus had been more limited, and the orator Cephalus adds this 'rider.' In Aesch. c. Ctes. p. 71, § 127, we find *σύγγραμμα* used in the corresponding sense of a clause in a bill: *καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει*, 'he inserts a much harsher provision.'

καθάπερ ἡ ἀριθμητικὴ ἡ λογιστικὴ ἔχει· περὶ τὸ αὐτὸ
C γάρ ἐστι, τό τε ἄρτιον καὶ τὸ περιττόν· διαφέρει δὲ τοσοῦτον, ὅτι καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους ἐπισκοπεῖ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἡ λογιστική. καὶ εἴ τις τὴν ἀστρονομίαν ἀνέροιτο, ἐμοῦ λέγοντος ὅτι καὶ αὕτη λόγῳ κυροῦται τὰ πάντα, Οἱ δὲ λόγοι οἱ τῆς ἀστρονομίας, εἰ φαίη, περὶ τί εἰσιν, ὦ Σώκρατες; εἴποιμ' ἂν ὅτι περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου καὶ σελήνης, πῶς πρὸς ἄλληλα τάχους ἔχει.

ΓΟΡ. Ὀρθῶς γε λέγων σύ, ὦ Σώκρατες.

D ΣΩ. Ἴθι δὴ καὶ σύ, ὦ Γοργία. τυγχάνει μὲν γὰρ δὴ ἡ ῥητορικὴ οὖσα τῶν λόγῳ τὰ πάντα διαπραττομένων τε καὶ κυρουμένων [τις] ἦ γάρ;

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Λέγε δὴ τῶν περὶ τί; *τί* ἐστι τοῦτο τῶν ὄντων, περὶ οὗ οὗτοι οἱ λόγοι εἰσίν, οἷς ἡ ῥητορικὴ χρῆται;

ΓΟΡ. Τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων, ὦ Σώκρατες, καὶ ἄριστα.

VII. ΣΩ. Ἀλλ', ὦ Γοργία, ἀμφισβητήσιμον καὶ τοῦτο λέγεις καὶ οὐδέν πω σαφές. οἶομαι γάρ σε ἀκη-
E κοέναι ἐν τοῖς συμποσίοις ᾀδόντων ἀνθρώπων τοῦτο τὸ σκολιόν, ἐν ᾧ καταριθμοῦνται ᾄδοντες ὅτι ὑγιαίνειν μὲν ἄριστόν ἐστι, τὸ δὲ δεύτερον καλὸν γενέσθαι, τρίτον δέ, ὡς φησιν ὁ ποιητὴς τοῦ σκολιοῦ, τὸ πλουτεῖν ἀδόλως.

D. τυγχάνει—[τις] For this τις the Bodl. and some other MSS. have τινῶν, possibly, as Herm. thinks, a relic of τεχνῶν, which may have been itself a gloss. I have followed his example in bracketing τις, which though harmless is unnecessary.

τί] This second τί was introduced by Heind. Some MSS. omit τῶν περί, which Ast inclines to do.

E. τοῦτο τὸ σκολιόν] This ran thus, as edited by Bergk:—

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.
Anth. Lyr. p. 408.

"These Scolia were a kind of lyric composition sung either in concert or successively, by all the guests after a banquet: the subjects of them were either the praises of some Attic Divinity, or moral precepts, or reflections on life, or gay exhortations to mirth or wine, or to love. There were some scolia of great antiquity; the most esteemed were those of Alcaeus, of Praxilla, and of Anacreon" (T. Gray). Olympiodorus says that the σκολιά were so called because the myrtle-branch held by the singer *inter cantandum*, was not handed to his next neighbour, but to the person opposite him on the other side of the table: καὶ σκολιὰ ἦν μετάδοσις ἐγίνετο. This particular scolium is quoted by Athen. (xv.

ΓΟΡ. Ἀκήκοα γάρ· ἀλλὰ πρὸς τί τοῦτο λέγεις;

ΣΩ. Ὅτι σοι αὐτίκ' ἂν | παρασταῖεν οἱ δημιουργοὶ 452
τούτων ὧν ἐπῄνεσεν ὁ τὸ σκολιὸν ποιήσας, ἰατρός τε καὶ παιδοτρίβης καὶ χρηματιστής, καὶ εἴποι ἂν πρῶτον μὲν ὁ ἰατρὸς ὅτι Ὦ Σώκρατες, ἐξαπατᾷ σε Γοργίας· οὐ γάρ ἐστιν ἡ τούτου τέχνη περὶ τὸ μέγιστον ἀγαθὸν τοῖς ἀνθρώποις, ἀλλ' ἡ ἐμή. εἰ οὖν αὐτὸν ἐγὼ ἐροίμην Σὺ δὲ τίς ὢν ταῦτα λέγεις; εἴποι ἂν ἴσως ὅτι Ἰατρός. Τί οὖν λέγεις; ἦ τὸ τῆς σῆς τέχνης ἔργον μέγιστόν ἐστιν ἀγαθόν; Πῶς γὰρ οὔ, φαίη ἂν ἴσως, ὦ Σώκρατες, ὑγίεια; τί δ' ἐστὶ μεῖζον ἀγαθὸν ἀνθρώποις ὑγιείας; Εἰ δ' αὖ μετὰ τοῦτον ὁ B παιδοτρίβης εἴποι ὅτι Θαυμάζοιμί γ' ἄν, ὦ Σώκρατες, καὶ αὐτός, εἴ σοι ἔχει Γοργίας μεῖζον ἀγαθὸν ἐπιδεῖξαι τῆς αὑτοῦ τέχνης ἢ ἐγὼ τῆς ἐμῆς· εἴποιμ' ἂν αὖ καὶ πρὸς τοῦτον Σὺ δὲ δὴ τίς εἶ, ὦ ἄνθρωπε; καὶ τί τὸ σὸν ἔργον; Παιδοτρίβης, φαίη ἄν, τὸ δ' ἔργον μού ἐστι καλούς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα. Μετὰ δὲ τὸν παιδοτρίβην εἴποι ἂν ὁ χρηματιστής, ὡς ἐγῷμαι, πάνυ καταφρονῶν ἁπάντων, Σκόπει δῆτα, ὦ Σώκρατες, ἐάν C σοι πλούτου φανῇ τι μεῖζον ἀγαθὸν ὂν ἢ παρὰ Γοργίᾳ ἢ παρ' ἄλλῳ ὁτῳοῦν. φαῖμεν ἂν οὖν πρὸς αὐτὸν Τί δὲ δή; ἢ σὺ τούτου δημιουργός; Φαίη ἄν. Τίς ὤν; Χρηματιστής. Τί οὖν; κρίνεις σὺ μέγιστον ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦτον; φήσομεν. Πῶς γὰρ οὔκ; ἐρεῖ. Καὶ μὴν ἀμφισβητεῖ γε Γοργίας ὅδε τὴν παρ' αὑτῷ τέχνην μείζονος ἀγαθοῦ αἰτίαν εἶναι ἢ τὴν σήν, φαῖμεν ἂν ἡμεῖς. δῆλον οὖν ὅτι τὸ μετὰ τοῦτο ἔροιτ' ἂν Καὶ τί ἐστι τοῦτο τὸ ἀγαθόν; ἀποκρινάσθω Γοργίας. Ἴθι οὖν νομίσας, ὦ D Γοργία, ἐρωτᾶσθαι καὶ ὑπ' ἐκείνων καὶ ὑπ' ἐμοῦ, ἀπόκριναι τί ἐστι τοῦτο ὃ φὴς σὺ μέγιστον ἀγαθὸν εἶναι τοῖς ἀνθρώποις καὶ σὲ δημιουργὸν εἶναι αὐτοῦ.

p. 694) and attributed by Clemens Alex. to Simonides.

452. καὶ εἴποι ἄν] I have followed Hirschig in inserting ἄν. παρασταῖεν ἂν . . καὶ εἴποιεν would have been agreeable to usage, but the change in the subject of the verb requires the repetition of the particle.

D. ὃ φὴς σὺ —καὶ σέ] The same kind of anacoluthia occurs inf. 454 B, ὃ δοκεῖ μὲν δῆλον εἶναι ἐγὼ δ' ἐπανερωτῶ.

ΓΟΡ. Ὅπερ ἔστιν, ὦ Σώκρατες, τῇ ἀληθείᾳ μέγιστον ἀγαθὸν καὶ αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει ἑκάστῳ.

ΣΩ. Τί οὖν δὴ τοῦτο λέγεις;

E ΓΟΡ. Τὸ πείθειν ἔγωγ' οἷόν τ' εἶναι τοῖς λόγοις καὶ ἐν δικαστηρίῳ δικαστὰς καὶ ἐν βουλευτηρίῳ βουλευτὰς καὶ ἐν ἐκκλησίᾳ ἐκκλησιαστὰς καὶ ἐν ἄλλῳ ξυλλόγῳ παντί, ὅστις ἂν πολιτικὸς ξύλλογος γίγνηται. καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον μὲν ἕξεις τὸν ἰατρόν, δοῦλον δὲ τὸν παιδοτρίβην· ὁ δὲ χρηματιστὴς οὗτος ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος καὶ οὐχ αὑτῷ, ἀλλὰ σοὶ τῷ δυναμένῳ λέγειν καὶ πείθειν τὰ πλήθη.

VIII. ΣΩ. Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύ-
453 τατα τὴν ῥητορικὴν | ἥντινα τέχνην ἡγεῖ εἶναι, καὶ εἴ τι ἐγὼ συνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ. ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν;

ΓΟΡ. Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι· ἔστι γὰρ τοῦτο τὸ κεφάλαιον αὐτῆς.

ΣΩ. Ἄκουσον δή, ὦ Γοργία. ἐγὼ γὰρ εὖ ἴσθ' ὅτι, ὡς

E. ἐν ταύτῃ τῇ δυνάμει] 'armed with this power you will hold in thraldom both physician and gymnast, while your great capitalist will be seen to be heaping up riches for another rather than himself, even for you who are able to move the masses by your eloquence.' For the use of ἐν comp. Xen. Cyr. viii. 6. 20, ταύτην τὴν στρατιὰν ἔχων ἐν ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη. For that of ἀλλά see below, 454 C.

453. πειθοῦς δημιουργός—ἡ ῥητορική] This definition was not invented by Plato for the occasion. It appears to have been an heirloom in the schools of rhetoric, originating, according to the author of the Prolegomena to Hermogenes (p. 8), with Corax and Tisias, or, according to Quintilian, with Isocrates (Inst. Or. ii. c. 15, § 4): "Haec opinio originem ab Isocrate, si tamen revera ars quae circumfertur ejus est, duxit, qui cum longe sit a voluntate infamantium oratoris officia, finem artis temere comprehendit, dicens esse rhetoricen *persuadendi opificem*, id est, πειθοῦς δημιουργόν." The circumstance that it proceeds from the mouth of Socr. rather than of Gorgias, is an intimation that the definition was current in Athens when this dialogue was written. An amended definition is given by Socr. in Phaedr. 271 A: ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων.

ἐγὼ γὰρ εὖ ἴσθ' ὅτι—εἶναι τούτων ἕνα] An anacoluthon. The regular constr. would have been καὶ ἐγώ εἰμι τούτων εἷς, both εὖ ἴσθ' ὅτι and ὡς ἐμαυτὸν πείθω being parenthetical. The phrase εὖ ἴσθ' ὅτι is sometimes in construction and sometimes independent, as δῆλον ὅτι. In B, σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα its use is ambiguous. Socr. alludes in this passage to his invariable practice of seeking a definition of the terms of an argument—the τί ἔστιν, in the language of Greek dialectic.

ἐμαυτὸν πείθω, εἴπερ τις ἄλλος ἄλλῳ διαλέγεται βουλόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅτου ὁ λόγος ἐστί, καὶ B ἐμὲ εἶναι τούτων ἕνα· ἀξιῶ δὲ καὶ σέ.

ΓΟΡ. Τί οὖν δή, ὦ Σώκρατες;

ΣΩ. Ἐγὼ ἐρῶ νῦν. ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς πειθώ, ἥ τίς ποτ' ἐστὶν ἣν σὺ λέγεις καὶ περὶ ὧντινων πραγμάτων ἐστὶ πειθώ, σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα, οὐ μὴν ἀλλ' ὑποπτεύω γε ἣν οἶμαί σε λέγειν καὶ περὶ ὧν· οὐδὲν μέντοι ἧττον ἐρήσομαί σε τίνα ποτὲ λέγεις τὴν πειθὼ τὴν ἀπὸ τῆς ῥητορικῆς καὶ περὶ τίνων αὐτὴν εἶναι. τοῦ οὖν ἕνεκα C δὴ αὐτὸς ὑποπτεύων σὲ ἐρήσομαι, ἀλλ' οὐκ αὐτὸς λέγω; οὐ σοῦ ἕνεκα, ἀλλὰ τοῦ λόγου, ἵνα οὕτω προΐῃ, ὡς μάλιστ' ἂν ἡμῖν καταφανὲς ᾖ περὶ ὅτου λέγεται. σκόπει γὰρ εἴ σοι δοκῶ δικαίως ἀνερωτᾶν σε. ὥσπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν τίς ἐστι τῶν ζωγράφων Ζεῦξις, εἶ μοι εἶπες ὅτι ὁ τὰ ζῷα γράφων, ἆρ' οὐκ ἂν δικαίως σε ἠρόμην ὁ τὰ ποῖα τῶν ζῴων γράφων; [καὶ ποῦ;]

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Ἆρα διὰ τοῦτο ὅτι καὶ ἄλλοι εἰσὶ ζωγράφοι γράφοντες ἄλλα πολλὰ ζῷα;

B. Ἐγὼ ἐρῶ νῦν. ἐγώ] The first ἐγώ is absent from the older edd. but is found in the Bodl. and elsewhere. The repetition is, however, harsh, and one would gladly dispense with the second ἐγώ, which is omitted in one of the less important Paris MSS.

οὐ μὴν ἀλλ'] 'not but what I have my suspicions as to its nature and its province.'

C. ὡς μάλιστ' ἂν—ποιοῖ] In this clause ὡς is relative. Tr., 'so as it shall leave no doubt in our minds what we are talking about.' Lat., 'quo maxime modo.'

[καὶ ποῦ] These two little words have greatly embarrassed the interpreters. It is, however, clear from the next speech of Socr. (ἆρα . . . . ἄλλα πολλὰ ζῷα;) that the sentence closed with γράφων, for otherwise καὶ ἄλλοθι πολλαχοῦ or something equivalent must have occurred after ζῷα. This consideration may relieve us from the trouble of discussing the merits, or rather perhaps demerits, of the various conjectures (πῶς, πόσου &c.) which have been made or adopted by various interpreters from Ficinus downwards. How the words forced their way into the text it is hard to understand. They were read by one Scholiast, who adds the gloss, ἐν τῇ ποικίλῃ στοᾷ, which, besides being irrelevant, is untrue, for the portico in question was painted by Polygnotus, not by Zeuxis. Ast defends the vulgate, translating thus: "welche Thiere malt er, und von welcher Seite malt er sie, d. h. was stellt er an ihnen dar?" Another interpretation is 'whether he painted on walls (in fresco) or on panel' &c.; but if Plato had meant this, he would certainly have expressed it differently. The clause, it seems to me, can have no relevant meaning, nor is any other clause needed in its stead. Hirschig leaves the text untouched, retaining the old interpretation of Ficinus, "quo pacto," as if he had read καὶ πῶς; Olympiodorus quotes only as far as γράφων, and ignores the καὶ ποῦ in his paraphrase, which he could hardly have done had he found the words in his copy.

ΓΟΡ. Ναί.

ΣΩ. Εἰ δέ γε μηδεὶς ἄλλος ἢ Ζεῦξις ἔγραφε, καλῶς ἄν σοι ἀπεκέκριτο;

ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς εἰπέ· πότερόν σοι δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ μόνη ἢ καὶ ἄλλαι τέχναι; λέγω δὲ τό τοιόνδε· ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον ὃ διδάσκει πείθει ἢ οὔ;

ΓΟΡ. Οὐ δῆτα, ὦ Σώκρατες, ἀλλὰ πάντων μάλιστα πείθει.

E ΣΩ. Πάλιν δ' εἰ ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγομεν ὥνπερ νῦν δή, ἡ ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ, καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ πείθει;

ΓΟΡ. Ναί.

ΣΩ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική.

ΓΟΡ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ἐάν τις ἐρωτᾷ ἡμᾶς ποίας πειθοῦς καὶ περὶ τί, ἀποκρινούμεθά που αὐτῷ ὅτι τῆς διδασκαλικῆς
454 τῆς περὶ τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν ὅσον ἐστί. | καὶ τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν τέχνας ἁπάσας ἔξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας καὶ ἥστινος καὶ περὶ ὅ τι. ἢ οὔ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστὶ δημιουργός.

ΓΟΡ. Ἀληθῆ λέγεις.

IX. ΣΩ. Ἐπειδὴ τοίνυν οὐ μόνη ἀπεργάζεται τοῦτο τὸ ἔργον, ἀλλὰ καὶ ἄλλαι, δικαίως ὥσπερ περὶ τοῦ ζωγράφου μετὰ τοῦτο ἐπανεροίμεθ' ἂν τὸν λέγοντα, ποίας δὴ πειθοῦς καὶ τῆς περὶ τί πειθοῦς ἡ ῥητορικὴ ἐστὶ τέχνη; ἢ
B οὐ δοκεῖ σοι δίκαιον εἶναι ἐπανερέσθαι;

ΓΟΡ. Ἔμοιγε.

D. Ἴθι δή] Socr. objects to the definition that its terms are ambiguous. For there are two kinds of πειθώ, that which imparts knowledge with belief, and that which creates belief only. Below, p. 455 A.

Οὐ δῆτα] Not the negative of πείθει, but of οὐ πείθει. 'Nay, he persuades

ΣΩ. Ἀπόκριναι δή, ὦ Γοργία, ἐπειδή γε καὶ σοὶ δοκεῖ οὕτως.

ΓΟΡ. Ταύτης τοίνυν τῆς πειθοῦς λέγω, ὦ Σώκρατες, τῆς ἐν δικαστηρίοις καὶ ἐν τοῖς ἄλλοις ὄχλοις, ὥσπερ καὶ ἄρτι ἔλεγον, καὶ περὶ τούτων ἃ ἐστι δίκαιά τε καὶ ἄδικα.

ΣΩ. Καὶ ἐγώ γοι ὑπώπτευον ταύτην σε λέγειν τὴν πειθὼ καὶ περὶ τούτων, ὦ Γοργία· ἀλλ'—ἵνα μὴ θαυμάζῃς, ἐὰν ὀλίγον ὕστερον τοιοῦτόν τί σε ἀνέρωμαι, ὃ δοκεῖ μὲν δῆλον εἶναι, ἐγὼ δ' ἐπανερωτῶ—ὅπερ γὰρ λέγω, τοῦ ἕξῆς ἕνεκα περαίνεσθαι τὸν λόγον ἐρωτῶ, οὐ σοῦ ἕνεκα, ἀλλ' ἵνα μὴ ἐθιζώμεθα ὑπονοοῦντες προαρπάζειν ἀλλήλων τὰ λεγόμενα, ἀλλὰ σὺ τὰ σαυτοῦ κατὰ τὴν ὑπόθεσιν ὅπως ἂν βούλῃ περαίνῃς.

ΓΟΡ. Καὶ ὀρθῶς γέ μοι δοκεῖς ποιεῖν, ὦ Σώκρατες.

ΣΩ. Ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καλεῖς τι μεμαθηκέναι;

ΓΟΡ. Καλῶ.

ΣΩ. Τί δέ; πεπιστευκέναι;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Πότερον οὖν ταὐτὸν δοκεῖ σοι εἶναι μεμαθηκέναι καὶ πεπιστευκέναι, καὶ μάθησις καὶ πίστις, ἢ ἄλλο τι;

ΓΟΡ. Οἶομαι μὲν ἔγωγε, ὦ Σώκρατες, ἄλλο.

ΣΩ. Καλῶς γὰρ οἴει· γνώσει δὲ ἐνθένδε. εἰ γάρ τίς σε ἔροιτο Ἆρ' ἔστι τις, ὦ Γοργία, πίστις ψευδὴς καὶ ἀληθής; φαίης ἄν, ὡς ἐγὼ οἶμαι.

unquestionably.' So inf. 501 C, πότερον συγκατατίθεσαι ἡμῖν . . ἢ ἀντίφῃς; Κ. Οὐκ ἔγωγε, ἀλλὰ συγχωρῶ.

454 B. περὶ τούτων ἃ ἐστι δίκαιά τε καὶ ἄδικα] This definition applies in strictness only to δικανικοὶ λόγοι. The province of deliberative oratory (συμβουλευτική) is τὰ ἀγαθὰ καὶ καλά. See Phaedr. 261 C D, and the notes.

ἀλλ'—ἵνα μὴ—ὅπερ γὰρ λέγω] "Sed ut ne mirere . . . scito me interrogare" &c. (Heind.) The particle γάρ is here in apodosi, as frequently after a parenthesis. See by all means Demosth. de F. L. § 107, and Mr. Shilleto's accurate remarks in the Vv. Ll. The idiom has escaped Stallb. ὅπερ λέγω is explained by 453 C, οὐ σοῦ ἕνεκα, κτλ.

C. τοῦ ἑξῆς] The order is, ἐρωτῶ ἵνεκα τοῦ ἑξῆς περαίνεσθαι τὸν λόγον. 'I ask in order that the argument may move towards its completion in regular order, by due steps.' περαίνεσθαι is *passive*, as below, 497 D, ἵνα περανθῶσιν οἱ λόγοι. Stallb. translates as if it were transitive and governed λόγον, which can hardly be the case, though the comp. διαπεραίνεσθαι is not unfrequently used in the middle, as Phaedr. 263 E, λόγον διεπεράνατο.

ἀλλ' ἵνα μὴ ἐθιζώμεθα] 'that we may not contract a habit of forestalling or taking for granted each other's statements from vague suspicions of what they are likely to be; but that you may rather develop your own views in your own way in accordance with the premisses assumed.'

ΓΟΡ. Ναί.

ΣΩ. Τί δέ; ἐπιστήμη ἐστὶ ψευδὴς καὶ ἀληθής;

ΓΟΡ. Οὐδαμῶς.

ΣΩ. Δῆλον ἄρα ὅτι οὐ ταὐτόν ἐστον.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλὰ μὴν οἵ τέ γε μεμαθηκότες πεπεισμένοι εἰσὶ
E καὶ οἱ πεπιστευκότες.

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Βούλει οὖν δύο εἴδη θῶμεν πειθοῦς, τὸ μὲν πίστιν παρεχόμενον ἄνευ τοῦ εἰδέναι, τὸ δ' ἐπιστήμην;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαστηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις περὶ τῶν δικαίων τε καὶ ἀδίκων; ἐξ ἧς τὸ πιστεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι ἢ ἐξ ἧς τὸ εἰδέναι;

ΓΟΡ. Δῆλον δήπου, ὦ Σώκρατες, ὅτι ἐξ ἧς τὸ πιστεύειν.

455 ΣΩ. Ἡ ῥητορικὴ ἄρα, ὡς ἔοικε, πειθοῦς | δημιουργός ἐστι πιστευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς περὶ τὸ δίκαιόν τε καὶ ἄδικον.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων, ἀλλὰ πειστικὸς μόνον. οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα.

ΓΟΡ. Οὐ δῆτα.

Χ. ΣΩ. Φέρε δή, ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ

D. Δῆλον ἄρα—ἐστον] Vulg. δῆλον γὰρ αὖ . . . ἐστιν. An illative particle being evidently needed here, I have not scrupled to adopt the excellent reading of Olympiodorus, ἄρα. The ἐστόν was suggested by Dr. Badham, who had also acutely conjectured γ' ἄρα for γὰρ αὖ. Olymp. reads ταὐτά εἰσιν, but ταὐτόν, 'the same thing,' is commonly used in such cases, as in 462 E. The received γὰρ αὖ converts an inference into a reason. ἐστόν is frequently replaced by ἐστίν, as in Politicus 263 A, where the vulg. has ἐστίν for the ἐστόν of the Bodl. and other MSS.

455. πειστικός] πιστικός is the reading of the Bodl. and the majority of MSS., the rest giving πειστικός. Sext. Emp. (adv. Math. ii. §§ 2, 75) seems to have read πειστικός here and πειστικῆς for πιστευτικῆς paul. sup. In the latter case he is doubtless wrong, but both Buttm. and Heind. seem with reason to question the legitimacy of the form πιστικός. There is the same confusion in the readings of Aristot. Rhet. i. 2. 1, where πειστική is now accepted by the edd. instead of the old πιστική.

τῆς ῥητορικῆς· ἐγὼ μὲν γάρ τοι οὐδ' αὐτός πω δύναμαι
κατανοῆσαι ὅ τι λέγω. ὅταν περὶ ἰατρῶν αἱρέσεως ἢ τῇ B
πόλει σύλλογος ἢ περὶ ναυπηγῶν ἢ περὶ ἄλλου τινὸς δη-
μιουργικοῦ ἔθνους, ἄλλο τι τότε ὁ ῥητορικὸς οὐ συμβου-
λεύσει; δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον
δεῖ αἱρεῖσθαι· οὐδ' ὅταν τειχῶν περὶ οἰκοδομήσεως ἢ
λιμένων κατασκευῆς ἢ νεωρίων, ἀλλ' οἱ ἀρχιτέκτονες· οὐδ'
αὖ ὅταν στρατηγῶν αἱρέσεως πέρι ἢ τάξεώς τινος πρὸς
πολεμίους ἢ χωρίων καταλήψεως συμβουλὴ ᾖ, ἀλλ' οἱ C
στρατηγικοὶ τότε συμβουλεύσουσιν, οἱ ῥητορικοὶ δὲ οὔ. ἢ
πῶς λέγεις, ὦ Γοργία, τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός τε
φὴς ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει
τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι. καὶ ἐμὲ νῦν
νόμισον καὶ τὸ σὸν σπεύδειν. ἴσως γὰρ καὶ τυγχάνει τις
τῶν ἔνδον ὄντων μαθητής σου βουλόμενος γενέσθαι, ὡς
ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύ-
νοιντ' ἄν σε ἀνερέσθαι. ὑπ' ἐμοῦ οὖν ἀνερωτώμενος νό- D
μισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶσθαι Τί ἡμῖν, ὦ Γοργία,
ἔσται, ἐάν σοι συνῶμεν; περὶ τίνων τῇ πόλει συμβουλεύειν
οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου

B. *ὅταν περὶ ἰατρῶν αἱρέσεως*] "There were public physicians elected in most of the Greek cities, who received a salary from the commonwealth, and seem to have taken no fees of particular people. Those physicians who exercised this office were said *δημοσιεύειν*. See Aristoph. in Avibus 584, Εἶθ' ὃ γ' Ἀπόλλων ἰατρός γ' ὢν ἰάσθω, μισθοφορεῖ δέ: Acharn. 994, Ἀπάλειψον εἰρήνῃ με τὠφθαλμὼ ταχύ. ΔΙ. Ἀλλ' ὃ πονήρ' οὐ δημοσιεύων τυγχάνω. But this custom seems to have been laid aside before Ol. 97. 4. Arist. Plut. 407, Τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει; Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ' οὔθ' ἡ τέχνη. Gorg. 514. Politic. 259, εἴ τῷ τις τῶν δημοσιευόντων ἰατρῶν ἱκανὸς ξυμβουλεύειν ἰδιωτεύων αὐτός, ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ προσαγορεύεσθαι τοὔνομα τῆς τέχνης ταὐτὸν ὅπερ ᾧ ξυμβουλεύει" (T. Gray). Hesych., δημοσιεύειν τὸ δημοσίᾳ ὑπηρετεῖν ἐπὶ μισθῷ. Suid. v. δημοσιεύω. οἱ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημοσίᾳ προῖκα ἐθεράπευον. Comp. Hom. Od. xvii. 382, Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν ἄλλος ἐπελθών, Ἄλλον γ' εἰ μὴ τῶν οἱ δημιοεργοὶ ἔασι; Μάντιν ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων, Ἢ καὶ θέσπιν ἀοιδόν, ὃ κεν τέρπῃσιν ἀείδων. These passages explain the origin of the oft-recurring distinction of *δημιουργός* and *ἰδιώτης*, equivalent in the time of Plato to that between professional and unprofessional, clerk and layman, the learned and the vulgar.

ἢ περὶ ναυπηγῶν ἢ περί] Understand *αἱρέσεως*, unless with Hirschig we suppose the prepositions to have been imported into the text. *ἔθνους* is used as the Lat. *natio* in Cic. pro Murena 33, "tota natio candidatorum." So Ast, who refers to Rep. i. 351 C, &c.

ἄλλο τι τότε] So Bekk. after a few MSS. Vulg. *ἄλλο τι ἢ τότε*. Here *ἄλλο τι* is equiv. to *ἆρ' οὐ, nonne;* as inf. 495 C. It corresponds to the Germ. *nicht wahr*, as Ast observes. I do not deny that there are cases in which *ἤ* is to be retained, as in Phaedo 79, *ἄλλο τι ἡμῶν αὐτῶν ἢ τὸ μὲν σῶμά ἐστι τὸ δὲ ψυχή;* to which the answer is, *Οὐδὲν ἄλλο.*

ἢ καὶ περὶ ὧν νῦν δὴ Σωκράτης ἔλεγε; πειρῶ οὖν αὐτοῖς ἀποκρίνεσθαι.

ΓΟΡ. Ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς ὑφηγήσω. οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια
E ταῦτα καὶ τὰ τείχη τὰ Ἀθηναίων καὶ ἡ τῶν λιμένων κατασκευὴ ἐκ τῆς Θεμιστοκλέους συμβουλῆς γέγονε, τὰ δ' ἐκ τῆς Περικλέους, ἀλλ' οὐκ ἐκ τῶν δημιουργῶν.

ΣΩ. Λέγεται ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους· Περικλέους δὲ καὶ αὐτὸς ἤκουον ὅτε συνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ μέσου τείχους.

456 ΓΟΡ. Καὶ ὅταν γέ τις αἵρεσις ᾖ ὧν νῦν δὴ | σὺ ἔλεγες, ὦ Σώκρατες, ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ συμβουλεύοντες καὶ οἱ νικῶντες τὰς γνώμας περὶ τούτων.

ΣΩ. Ταῦτα καὶ θαυμάζων, ὦ Γοργία, πάλαι ἐρωτῶ ἤ τίς ποτε ἡ δύναμίς ἐστι τῆς ῥητορικῆς. δαιμονία γάρ τις ἔμοιγε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι.

XI. ΓΟΡ. Εἰ πάντα γε εἰδείης, ὦ Σώκρατες, ὅτι ὡς ἔπος εἰπεῖν ἁπάσας τὰς δυνάμεις συλλαβοῦσα ὑφ' αὑτῇ
B ἔχει. μέγα δέ σοι τεκμήριον ἐρῶ· πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ καὶ μετὰ τῶν ἄλλων ἰατρῶν εἰσελθὼν

E. Περικλέους—τείχους] "The μακρὰ τείχη which joined Athens to the Piraeus were begun on the motion of Pericles, Ol. 80. 4, B.C. 457. Socr. at that time was about twelve years old. See Plutarch in Vitt. Pericl. et Cimon. Harpocration tells us that of the two walls which extended from the city to Piraeus, the southern only, or the innermost, was called τὸ διὰ μέσου, as lying between the innermost, τὸ βόρειον, and τὸ Φαληρικόν, which was a third wall drawn from Athens to the Port Phalerum, and he cites this very passage" (T. Gray). This statement is substantially correct, but Gray is mistaken in supposing that the intermediate or southern Peiraic wall was projected at the same time with the two mentioned in Thuc. i. 107, 108. It was not built until a later period, when the northern Peiraic and the Phaleric wall were finished, i. e. after B.C. 456. We thus get rid of the difficulty, such as it is, of supposing Socr. a hearer of Pericles at the early age of twelve. The two Peiraic Long Walls ran parallel to each other, enclosing an oblong space of four or five miles in length (40 stades) and 550 feet in width. That to Phalerum was built at an angle to the other two. Since the appearance of the work of Ulrichs on the subject, most topographers have agreed to place Phalerum on the spot called Trispyrgi, rather than on that now appropriated as the site of Munychia, and distant from the former by the whole extent of the Phaleric bay. See Leake (Topog. Ath. i. 422), who differs however in regard of the situation of Phalerum. This latter question is probably not yet definitively settled.

ὧν νῦν δή] One MS. has νῦν αδ. The rest omit νῦν. Heind. properly insists on retaining it. See note to p. 462.

456. Εἰ πάντα γε εἰδείης] 'well it might, Socr., if you knew all—if you were aware that Rhetoric includes in her domain—I may say *all* the faculties.'

παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ, οὐ δυναμένου τοῦ ἰατροῦ πεῖσαι, ἐγὼ ἔπεισα, οὐκ ἄλλῃ τέχνῃ ἢ τῇ ῥητορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν ὅποι βούλει ἐλθόντε ῥητορικὸν ἄνδρα καὶ ἰατρόν, εἰ δέοι λόγῳ διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ, ὁπότερον δεῖ αἱρεθῆναι ἰατρόν, οὐδαμοῦ ἂν φανῆναι τὸν ἰατρόν, ἀλλ' αἱρεθῆναι C ἂν τὸν εἰπεῖν δυνατόν, εἰ βούλοιτο. καὶ εἰ πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν· οὐ γὰρ ἔστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. Ἡ μὲν οὖν δύναμις τοσαύτη ἐστὶ καὶ τοιαύτη τῆς τέχνης. δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι ὥσπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς D ἅπαντας χρῆσθαι ἀνθρώπους, ὅτι ἔμαθέ τις πυκτεύειν τε καὶ παγκρατιάζειν καὶ ἐν ὅπλοις μάχεσθαι, ὥστε κρείττων εἶναι καὶ φίλων καὶ ἐχθρῶν· οὐ τούτου ἕνεκα τοὺς φίλους δεῖ τύπτειν οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι. οὐδέ γε μὰ Δία ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος, ἔπειτα τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα ἢ ἄλλον τινὰ τῶν οἰκείων ἢ τῶν φίλων, οὐ τούτου ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς E ὅπλοις διδάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνοι μὲν γὰρ παρέδοσαν ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς πολεμίους καὶ τοὺς ἀδικοῦντας, ἀμυνομένους, μὴ ὑπάρχοντας· οἱ | δὲ μεταστρέψαντες 457

B. ἐλθόντε] Vulg. ἐλθόντα, corr. Dobree.

C. οὐδαμοῦ ἂν φανῆναι] Tr., 'would be entirely distanced,' as we say of a beaten horse, 'he is nowhere.' Soph. Ant. 183, τοῦπον οὐδαμοῦ λέγω. For ὁπότερον δεῖ αἱρεθῆναι ἰατρόν, which is the reading of the Bodl. and several codd., the edd. retain the inferior, ὁπότερον δεῖ αἱρεθῆναι, ῥήτορα ἢ ἰατρόν, which destroys the point of the example. The rhetor will persuade the people to elect him state-physician in preference to a regularly trained practitioner. See above, 455 B, ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος.

D. ἔμαθέ τις] The Bodl. omits τις. So the Ald., which Heind. was disposed to follow. I retain it, with Bekk. and the majority of MSS.

457. μεταστρέψαντες] "Vern. *es umkehrend*, h. e. *umgekehrt*, i. q. ἐναντίως (ut C) Latinor. ex contrario. Polit. ix. 587 D, ἐάν τις μεταστρέψας . . λέγῃ, κ.τ.λ." (Ast). Participles are frequently used thus adverbially, of which usage τελευτῶν, 'tandem,' is a familiar instance. See not. on Phædr. 228.

χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. οὔκουν οἱ διδάξαντες πονηροί, οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πονηρὰ τούτου ἕνεκά ἐστιν, ἀλλ' οἱ μὴ χρώμενοι, οἶμαι, ὀρθῶς. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥστε πιθανώτερος εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ
B ὅτου ἂν βούληται· ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι, ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι, οὔτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δέ, οἶμαι, ῥητορικὸς γενόμενός τις κατὰ ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ
C παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα.

XII. ΣΩ. Οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων καὶ καθεορακέναι ἐν αὐτοῖς τὸ τοιόνδε, ὅτι οὐ ῥᾳδίως δύνανται περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι διορισάμενοι πρὸς ἀλλήλους καὶ μαθόντες καὶ διδά-

ἔμβραχυ περὶ ὅτου ἂν βούληται] "Vox ἐμβραχύ, quam veteres *συντόμως* vel *ἁπλῶς* explicant, eodem fere modo, quo formula illa *ὡς ἔπος εἰπεῖν* orationi modeste restringendae inservit, nisi quod illa fere ante *οὐδέν* et *πάντες* inferri solent, hoc ante *ὅστις ἄν, ὅστις βούλει, ὁπουπερ* et talia. V. Tim. Lex. v. *ἔμβραχυ* ibique Ruhnk. imprimisque Schol. Plat. ad Theagem, p. 88" (Heind.). The Schol. in question quotes a line of Cratinus thus: *ἔδει παρέχειν ὅ τι τις εὔξαιτ' ἔμβραχυ*, where read, with Cobet, *ἔδει παρασχεῖν*. The use of the formula is restricted, in good authors, to the cases noted by Heind., though later writers do not scruple to use it generally in the sense of *ἁπλῶς, συντόμως*, as Dion Chrys. (p. 446 C), *ὁ δὲ λόγος οὗτος ἔμβραχυ ἐσπούδακε ξυναρμόσαι τῷ θεῷ τὸ ἀνθρωπεῖον γένος*. I quote this from Cobet's Varr. Lectt., p. 208, where *ἔμβραχυ* is shown to be frequently altered by copyists into *ἐν βραχεῖ*, as in Plat. Sympos. 217 A, *ὥστε ποιητέον εἶναι ἐν βραχεῖ ὅ τι κελεύοι Σωκράτης*. Cobet adds, "Apparebit nunc quam infeliciter Stallbaum in Platonis Hippia minore, 365 D, pro *ἐρώτα ἔμβραχυ ὅ τι βούλει* ex deterioribus receperit *ἐν βραχεῖ*." Cobet justly observes that *ἐν βραχεῖ* is not synonymous with *ἔμβραχυ*, but means rather 'briefly' (as in Soph. El. 637, *ἐν βραχεῖ συνθεὶς λέγω*). Ast in his Lexicon correctly renders *ἔμβραχυ* by the Latin 'cunque' (Germ. *was nur immer*). The form of the word is illustrated by *ἔμπας, ἔμπαν, ἔμπα*.

B. *κἆτα*] *κἆτα* and *κἄπειτα* not unfrequently occur after participles, where we should have expected *εἶτα* and *ἔπειτα*. Of this usage Heind. quotes two instances from Aristophanes: Equit. 391, *ἀλλ' ὁμῶς οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον Κἆτ' ἀνὴρ ἔδοξεν εἶναι*: Nub. 623, *ἀνθ' ὧν λαχὼν Ὑπέρβολος Τῆτες ἱερομνημονεῖν κἄπειθ' ὑφ' ὑμῶν τῶν θεῶν Τὸν στέφανον ἁφῃρέθη*. Add Xen. Mem. i. 1. 5, *εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα κἆτα ψευδόμενος ἐφαίνετο*: and the reff. in Kühner's note.

ξαντες ἑαυτοὺς οὕτω διαλύεσθαι τὰς συνουσίας, ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσι καὶ μὴ φῇ ὁ ἕτερος τὸν ἕτερον D ὀρθῶς λέγειν ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν, φιλονεικοῦντας ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ. καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπαλλάττονται, λοιδορηθέντες τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν ἀκροαταὶ γενέσθαι. Τοῦ δὴ E ἕνεκα λέγω ταῦτα; ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ σύμφωνα οἷς τὸ πρῶτον ἔλεγες περὶ τῆς ῥητορικῆς. φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ. ἐγὼ οὖν, εἰ μὲν καὶ σὺ εἶ τῶν ἀνθρώπων | ὥνπερ καὶ ἐγώ, ἡδέως ἄν σε διερωτῴην· εἰ δὲ 458 μή, ἐῴην ἄν. ἐγὼ δὲ τίνων εἰμί; τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων, εἴ τι μὴ ἀληθὲς λέγω, ἡδέως δ' ἂν ἐλεγξάντων, εἴ τίς τι μὴ ἀληθὲς λέγοι, οὐκ ἀηδέστερον μέντ' ἂν ἐλεγχθέντων ἢ ἐλεγξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳπερ μεῖζον ἀγαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα ψευδὴς περὶ ὧν B

E. **οὐ πάνυ ἀκόλουθα**] Olymp., **ὅρα ἦθος θεῖον τοῦ Σωκράτους· οὐκ εἶπε γὰρ ὅτι ἀνακόλουθα ἢ ψευδῆ λέγεις, ἀλλ' οὐ πάνυ ἀκόλουθα, τῷ μετρίῳ καλύζων τὸ δριμὺ τῆς ἐγκλήσεως.** This use of **οὐ πάνυ** as a qualified negative is common, if not universal, in the Atticists of the Empire, as in Lucian according to Cobet (Vv. Ll. p. 222), who at the same time denies that this sense was known to the Attics themselves. Mr. Cope, in a carefully-written and candid Excursus to his Translation of this dialogue, strenuously maintains the view expressed by Olympiodorus, and I observe that the late Mr. Riddell, in the "Digest of Idioms," attached to his edition of the Apology, held the same opinion. On the other hand, see among Greek authorities, the Scholiast on Phaedo 57 A (**οὐδεὶς πάνυ τι ἐπιχωριάζει . . .**), who writes **ἀντὶ τοῦ οὐδαμῶς· ἐστὶ γὰρ τὸ ἑξῆς οὕτως· πάνυ οὐδεὶς ἐπιχωριάζει.** It seems also difficult to explain Lysis 204 E, **οὐ γὰρ πάνυ τι αὐτοῦ τοῦνομα λέγουσιν, ἀλλ' ἔτι πατρόθεν ἐπονομάζεται**—except as an unqualified negation. The same remark applies to Legg. iv. 704 C, **γείτων δὲ αὐτῆς πόλις ἄρ' ἔσται τις πλησίον;** K. **Οὐ πάνυ· διὸ καὶ κατοικίζεται,** to Aristot. Eth. N. x. 5. 4, **χαίροντες ὑτιοῦν σφόδρα οὐ πάνυ δρῶμεν ἕτερον,** to Menander, frag. 198, **οὐ πάνυ Εἶσθ' ἀληθὴς οὐδὲ ἓν γόνῃ λέγειν**—and, as Mr. Cope seems to admit, to **οὐδὲν πάνυ** wheresoever it occurs. In Plat. Rep. 549 D, **ἑαυτὴν δὲ μήτε πάνυ τιμῶντα μήτε ἀτιμάζοντα**—we should perhaps adopt the variant of Cod. D and two others, **μήτε πάντη ἀτιμάζοντα.** If **πάνυ** be retained, the passage makes unequivocally in favour of Mr. Cope's view, and we shall have to admit that the same negative is sometimes used in the qualified, and sometimes in the unqualified sense by the same authors.

τυγχάνει νῦν ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ σὺ φὴς τοιοῦτος εἶναι, διαλεγώμεθα· εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν λόγον.

ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγεῖ· ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρ τοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην, καὶ νῦν ἴσως
C πόρρω ἀποτενοῦμεν, ἢν διαλεγώμεθα. σκοπεῖν οὖν χρὴ καὶ τὸ τούτων, μή τινας αὐτῶν κατέχωμεν βουλομένους τι καὶ ἄλλο πράττειν.

XIII. ΧΑΙ. Τοῦ μὲν θορύβου, ὦ Γοργία τε καὶ Σώκρατες, αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν, βουλομένων ἀκούειν ἐάν τι λέγητε· ἐμοὶ δ' οὖν καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥστε τοιούτων λόγων καὶ οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν τι γενέσθαι ἄλλο πράττειν.

D ΚΑΛ. Νὴ τοὺς θεούς, ὦ Χαιρεφῶν. καὶ μὲν δὴ καὶ αὐτὸς πολλοῖς ἤδη λόγοις παραγενόμενος οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως ὥσπερ νυνί, ὥστ' ἔμοιγε, κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγεσθαι, χαριεῖσθε.

ΣΩ. Ἀλλὰ μήν, ὦ Καλλίκλεις, τό γ' ἐμὸν οὐδὲν κωλύει, εἴπερ ἐθέλει Γοργίας.

ΓΟΡ. Αἰσχρὸν δὴ τὸ λοιπόν, ὦ Σώκρατες, γίγνεται ἐμέ γε μὴ ἐθέλειν, αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾶν ὅ τί τις
E βούλεται. ἀλλ' εἰ δοκεῖ τουτοισί, διαλέγου τε καὶ ἐρώτα ὅ τι βούλει.

ΣΩ. Ἄκουε δή, ὦ Γοργία, ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ· ἴσως γάρ τοι σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω. ῥητορικὸν φὴς ποιεῖν οἷός τ' εἶναι, ἐάν τις βούληται παρὰ σοῦ μανθάνειν;

ΓΟΡ. Ναί.

458. C. ἐμοὶ δ' οὖν] γοῦν Olymp., and for τοσαύτη, τοιαύτη. 'And for my own part, God forbid that my hands should ever be so full, that I must abandon a discussion so interesting and so ably conducted, in favour of any other employment however profitable.'

D. Αἰσχρὸν δὴ—βούλεται] 'After my voluntary challenge to all questioners I cannot for very shame refuse henceforth.' αὐτόν = 'ultro.' After ἐθέλειν formerly stood καὶ ταῦτα, now omitted by the edd. in conformity with the Bodl. and some other MSS.

ΣΩ. Οὐκοῦν περὶ πάντων ὥστ' ἐν ὄχλῳ πιθανὸν εἶναι, οὐ διδάσκοντα ἀλλὰ πείθοντα;

| ΓΟΡ. Πάνυ μὲν οὖν. 459

ΣΩ. Ἔλεγές τοι νῦν δὴ ὅτι καὶ περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ.

ΓΟΡ. Καὶ γὰρ ἔλεγον, ἔν γε ὄχλῳ.

ΣΩ. Οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν, ἐν τοῖς μὴ εἰδόσιν; οὐ γὰρ δήπου ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται, τοῦ εἰδότος πιθανώτερος γίγνεται;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκ ἰατρός γε ὤν· ἦ γάρ;

ΓΟΡ. Ναί. B

ΣΩ. Ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων ὢν ὁ ἰατρὸς ἐπιστήμων.

ΓΟΡ. Δῆλον ὅτι.

ΣΩ. Ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πιθανώτερος ἔσται, ὅταν ὁ ῥήτωρ τοῦ ἰατροῦ πιθανώτερος ᾖ. τοῦτο συμβαίνει ἢ ἄλλο τι; X

ΓΟΡ. Τοῦτο ἐνταῦθά γε συμβαίνει.

ΣΩ. Οὐκοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας ὡσαύτως ἔχει ὁ ῥήτωρ καὶ ἡ ῥητορική; αὐτὰ μὲν τὰ πράγματα οὐδὲν δεῖ αὐτὴν εἰδέναι ὅπως ἔχει, μηχανὴν δέ τινα C πειθοῦς εὑρηκέναι, ὥστε φαίνεσθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων.

XIV. ΓΟΡ. Οὐκοῦν πολλὴ ῥᾳστώνη, ὦ Σώκρατες, γίγνεται, μὴ μαθόντα τὰς ἄλλας τέχνας, ἀλλὰ μίαν ταύτην, μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν;

ΣΩ. Εἰ μὲν ἐλαττοῦται ἢ μὴ ἐλαττοῦται ὁ ῥήτωρ

459. B. αὐτὰ μὲν τὰ πράγματα] This was distinctly maintained by Tisias, according to Phaedr. 272 D, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι . . . τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν εἶναι. Presently in p. 460, Gorgias seems disposed to qualify this broad statement of his master. His disciple Polus is less scrupulous, as we shall find below, 461 B.

C. Οὐκοῦν πολλὴ ῥᾳστώνη] 'And is it not a great comfort, Socr., to find yourself fully a match for the professors of any other art, without having had the trouble of learning any but this one?'

τῶν ἄλλων διὰ τὸ οὕτως ἔχειν, αὐτίκα ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν πρὸς λόγου ᾖ· νῦν δὲ τόδε πρότερον σκεψώμεθα, D ἆρα τυγχάνει περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον καὶ τὸ αἰσχρὸν καὶ τὸ καλὸν καὶ ἀγαθὸν καὶ κακὸν οὕτως ἔχων ὁ ῥητορικὸς ὡς περὶ τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα ὧν αἱ ἄλλαι τέχναι, αὐτὰ μὲν οὐκ εἰδώς, τί ἀγαθὸν ἢ τί κακόν ἐστιν ἢ τί καλὸν ἢ τί αἰσχρὸν ἢ δίκαιον ἢ ἄδικον, πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος, ὥστε δοκεῖν εἰδέναι οὐκ εἰδὼς ἐν οὐκ εἰδόσι μᾶλλον τοῦ εἰδότος; ἢ ἀνάγκη εἰδέναι, καὶ δεῖ E προεπιστάμενον ταῦτα ἀφικέσθαι παρὰ σὲ τὸν μελλοντα μαθήσεσθαι τὴν ῥητορικήν; εἰ δὲ μή, σὺ ὁ τῆς ῥητορικῆς διδάσκαλος τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμενον— οὐ γὰρ σὸν ἔργον,—ποιήσεις δ' ἐν τοῖς πολλοῖς δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα οὐκ εἰδότα καὶ δοκεῖν ἀγαθὸν εἶναι οὐκ ὄντα; ἢ τὸ παράπαν οὐχ οἷός τε ἔσει διδάξαι αὐτὸν τὴν ῥητορικήν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν 460 ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; | καὶ πρὸς Διός, ὥσπερ ἄρτι εἶπες, ἀποκαλύψας τῆς ῥητορικῆς εἰπὲ p. 21 τίς ποθ' ἡ δύναμίς ἐστιν.

ΓΟΡ. Ἀλλ' ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ μὴ εἰδώς, καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεται.

ΣΩ. Ἔχε δή· καλῶς γὰρ λέγεις. ἐάνπερ ῥητορικὸν

πρὸς λόγου] C. F. Herm. proposes πρὸς λόγον, on the ground that πρὸς λόγου is found nowhere else. Phileb. 33 C, ἐὰν πρὸς λόγον τι ᾖ. So πρὸς ἔπος, ibid. 18 D. But πρὸς λόγου is supported by πρὸς τρόπου, Phaedr. 252 D, and Theophr. Char. XXX., to which the antitheton is ἀπὸ τρόπου. Comp. οὐκ ἀπὸ σκοποῦ εἴρηκεν, Theaet. 179 C. Olymp. gives πρὸ λόγου, which, if not a copyist's error, has the analogy of πρὸ ὁδοῦ and προθύργου in its favour. Tr., 'If it should answer our purpose;' 'if it be in the interest of our discussion to do so.' After τυγχάνει in the next line Olymp. inserts καί.

460. ὥσπερ ἄρτι εἶπες, ἀποκαλύψας] Above, 455 D, ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν.

Ἀλλ' ἐγὼ μὲν—μαθήσεται] Perhaps the cloud of quotations collected by Stallb. may be sufficient to protect this reading of the MSS. against Stephen, who alters μαθήσεται into μαθήσεσθαι. I confess that the position of ἐγὼ μὲν οἶμαι in the sentence seems to me to distinguish it from cases in which οἶμαι δέ, δοκῶ δέ, δοκῶ μέν, δοκεῖ δέ μοι, and the like are placed in parenthesi. Heind. reads μαθήσεσθαι with Steph. Stallb.'s argument, "quod indicativus longe accommodatior est Sophistae confidentiae quam oratio aliunde suspensa," is characteristic.

Ἔχε δή] This phrase occurs again 490 B, ἔχε δὴ αὐτοῦ, evidently in the sense of ἐπίσχες, 'hold,' a meaning however which it will not always bear. The grammarians explain it by πρόσεχε, ἄγε δή, ὅρα δή, and the like: but the parallel passage in this dialogue justifies Heind.'s version, "subsiste," with which Stallb. quarrels. Compare Protag. 349 D, and Heind.'s note. The argument which follows is to our notions sophistical

σύ τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ.

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Τί οὖν; ὁ τὰ τεκτονικὰ μεμαθηκὼς τεκτονικός, B ἢ οὔ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ μουσικός;

ΓΟΡ. Ναί.

ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ ἰατρικός; καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον, ὁ μεμαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος;

ΓΟΡ. Πάντως δήπου.

ΣΩ. Ὁ δὲ δίκαιος δίκαιά που πράττει.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν ἀνάγκη τὸν [ῥητορικὸν δίκαιον εἶναι, τὸν C δὲ] δίκαιον βούλεσθαι * ἀεὶ * δίκαια πράττειν;

enough. Not so, however, from the Socratic point of view, according to which every virtue is a form of knowledge, and every vice the result of ignorance. Comp. Xen. Mem. iii. 9. 4, 5. It may seem that Gorgias might have turned the tables upon Socr. by simply substituting *ἄδικος* for *δίκαιος* in the premisses, as indeed Olymp. remarks (p. 49), *ἰστέον δὲ ὅτι δυνατὸν καὶ ἐκ τοῦ ἐναντίου συμπερᾶναι καὶ εἰπεῖν· Ὁ ῥήτωρ ἐπιστήμων τοῦ ἀδίκου· ὁ ἐπιστήμων τοῦ ἀδίκου ἄδικα βούλεται· ὁ ἄδικα βουλόμενος ἄδικα διαπράττεται· ὁ διαπραττόμενος ἄδικα οὐκ ἔστι ποτὲ δίκαιος· ὁ ἄρα ῥήτωρ οὐδέποτε δίκαιός ἐστιν.* Ἀλλὰ *φαμέν*, he adds, *ὅτι δύναται ὁ ῥήτωρ εἰδέναι τὸ δίκαιον οὐχ ἵνα χρήσηται ἀλλ' ἵνα φύγῃ αὐτὸ καὶ μὴ ἀγνοῶν περιπέσῃ*. The objection however is fallacious, for, according to the doctrine of Socr., the *ἄδικος* is not *ὁ τὰ ἄδικα εἰδώς*, but *ὁ τὰ δίκαια*, and (as a consequence) *τὰ ἄδικα μὴ εἰδώς*.

C. Οὐκοῦν ἀνάγκη] Quintilian adverts to this passage in terms which prove that he read it nearly as it now stands, but in a different position, at the end, namely, of the argument, after *φαίνεταί γε*. "Disputatio illa contra Gorgiam *ita claudi*tur: *οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον εἶναι, τὸν δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν*" (Inst. ii. 15. 27). From this it is pretty evident that the text had been disturbed before his time, and the sequence of the reasoning interrupted. The mention of *ῥητορικός* in the sentence as it stands in our copies is clearly premature, *his* turn coming after the *δίκαιος* has been disposed of. Another fault is, that the proposition *οὐδέποτε βουλήσεται ὁ δίκαιος ἀδικεῖν* is more than the premiss, as it stands, can support. If we insert *ἀεί*, which may easily have been absorbed by the last syllable of *βούλεσθαι*, the reasoning becomes consequent, as, by expelling the clause I have bracketed, it is made regular in its form. 'The just man performs just actions, does he not?' 'He does.' 'In fact he *wills* to do just actions *always*.' 'Apparently.' 'If so, the just man will never will to act unjustly.' 'That follows of necessity.' 'But from the premisses it follows of necessity that the rhetorical man is just' (sc. *ὅτι τὰ δίκαια μεμάθηκεν*, sup. A and B). 'Yes.' 'If

ΓΟΡ. Φαίνεταί γε.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὅ γε δίκαιος ἀδικεῖν.

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν.

ΓΟΡ. Οὐ φαίνεταί γε.

XV. ΣΩ. Μέμνησαι οὖν λέγων ὀλίγῳ πρότερον ὅτι
D οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, ἐὰν ὁ πύκτης τῇ πυκτικῇ χρῆταί τε καὶ ἀδικῇ; ὡσαύτως δὲ οὕτω καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀδίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν μηδὲ ἐξελαύνειν ἐκ τῆς πόλεως, ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητορικῇ; ἐῤῥήθη ταῦτα ἢ οὔ;

ΓΟΡ. Ἐῤῥήθη.

ΣΩ. Νῦν δέ γε ὁ αὐτὸς οὗτος φαίνεται, ὁ ῥητορικός,
E οὐκ ἄν ποτε ἀδικήσας. ἢ οὔ;

ΓΟΡ. Φαίνεται.

ΣΩ. Καὶ ἐν τοῖς πρώτοις γε, ὦ Γοργία, λόγοις ἐλέγετο, ὅτι ἡ ῥητορικὴ περὶ λόγους εἴη οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ, ἀλλὰ τοὺς τοῦ δικαίου καὶ ἀδίκου. ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Ἐγὼ τοίνυν σου τότε ταῦτα λέγοντος ὑπέλαβον ὡς οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὃ γ' ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕστερον ἔλεγες ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο,
461 | οὕτω θαυμάσας καὶ ἡγησάμενος οὐ συνάδειν τὰ λεγόμενα ἐκείνους εἶπον τοὺς λόγους, ὅτι εἰ μὲν κέρδος ἡγοῖο

so, the rhetorical man will be incapable of willing to act unjustly.' [Of these alterations the first was anticipated by Professor Woolsey of Boston, U. S., in his edition, p. 147. The second (the insertion of ἀεί) occurred to me some years ago. All three have, I now see, occurred independently to M. Hirschig (Exploratio Argumentationum Socraticarum, &c., 1859). I mention this by way of external evidence in favour of the emendations proposed, which, however, need no recommendation beyond their intrinsic necessity. In defence of ἀεί, which Hirschig places *before* βούλεσθαι, he justly appeals to 460 E, *οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὃ γ' ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται.*]

D. *ὡσαύτως δὲ οὕτω*] So Protag. 351 C, *τὰ ἀνιαρὰ ὡσαύτως οὕτως οὐ καθ' ὅσον ἀνιαρὰ κακά.*

εἶναι τὸ ἐλέγχεσθαι ὥσπερ ἐγώ, ἄξιον εἴη διαλέγεσθαι, εἰ δὲ μή, ἐᾶν χαίρειν· ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων ὁρᾷς δὴ καὶ αὐτὸς ὅτι αὖ ὁμολογεῖται τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ ῥητορικῇ καὶ ἐθέλειν ἀδικεῖν. ταῦτα οὖν ὅπῃ ποτὲ ἔχει, μὰ τὸν κύνα, ὦ Γοργία, οὐκ ὀλίγης συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι. B

XVI. ΠΩΛ. Τί δαί, ὦ Σώκρατες; οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξάζεις ὥσπερ νῦν λέγεις; ἢ οἴει ὅτι Γοργίας ᾐσχύνθη σοι μὴ προσομολογῆσαι τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι καὶ τὰ καλὰ καὶ τὰ ἀγαθά, καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ' αὐτόν, αὐτὸς διδάξειν; ἔπειτα ἐκ ταύτης ἴσως τῆς ὁμολογίας ἐναντίον τι συνέβη ἐν τοῖς λόγοις, τοῦθ' ὃ δὴ ἀγαπᾷς, αὐτὸς ἀγαχὼν ἐπὶ τοιαῦτα ἐρωτήματα. ἐπεὶ τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; ἀλλ' εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους.

ΣΩ. Ὦ κάλλιστε Πῶλε, ἀλλά τοι ἐξεπίτηδες κτώμεθα ἑταίρους καὶ υἱεῖς, ἵνα ἐπειδὰν αὐτοὶ πρεσβύτεροι γιγνό-

461. *μὰ τὸν κύνα*] A choice specimen of Neoplatonic trifling is the following scholium of Olympiodorus: *μὰ τὸν κύνα. συμβολικῶς τοῦτο. ὁ γὰρ κύων σύμβολόν ἐστι τῆς λογικῆς ζωῆς, ὡς εἴρηται ἐν ταῖς πολιτείαις· ἔχει τι ὁ κύων φιλόσοφον, τὸ διακριτικόν, κ.τ.λ.* He alludes to Rep. ii. 376 A. The Socratic oaths, not however peculiar to Socr., *νὴ* or *μὰ τὸν κύνα*, or *τὸν χῆνα*, find an odd counterpart in the old Engl. "by cock and pye."

B. *ἢ οἴει ὅτι*] Stallb. stops before and after *οἴει*, and interprets *ὅτι* by "propterea quod," quoting Theaet. 147 A, *ἦ, οἴει, τίς τι συνίησί τινος ὄνομα, κ.τ.λ.* The 2nd Zürich ed. agrees with him and with Hirschig in placing the interrog. after *λόγοις*. I am not sure that this is any improvement on the punctuation of the first ed., which I have retained. Professor Woolsey conceives that the sentence ends abruptly at *διδάξειν*, and that Polus meant to have added, 'that therefore his inconsistency is to be charged to rhetoric,' or something to that effect. And certainly the clause *ἔπειτα κ.τ.λ.* would be no just apodosis to the causal clause *ὅτι Γοργίας κ.τ.λ.* The passage however seems to me to make sense without resorting to either supposition. 'Do you who maintain these paradoxes yourself believe them? or do you think (with me) that Gorgias was ashamed, &c. And then, in consequence of this unlucky admission of his, I dare say a contradiction did occur in the reasoning — the thing we know you dearly love—for it was you, not he, who gave the conversation this interrogative turn.' In *οὕτω καὶ σύ* the *καί* does not belong to *δοξάζεις*, as Ast strangely supposes, but to *σύ*: 'Do even you think as you say—to say nothing of your audience?'

C. *Ὦ κάλλιστε Πῶλε*] It is possible that this homœoteleuton was intentional, and by way of parody of the Sicilian practice. In sense it is much the same as *ὦ λῷστε Πῶλε*, inf. 467 B. See note to Phaedr. 278 E.

ἀλλά τοι] A Paris MS. (C) gives *τι*, perhaps a relic of an old reading *ἄλλο τι*. But *τοί* and *τί* are perpetually confounded in the MSS.

μενοι σφαλλώμεθα, παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορθοῖτε ἡμῶν τὸν βίον καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. καὶ νῦν
D εἴ τι ἐγὼ καὶ Γοργίας ἐν τοῖς λόγοις σφαλλόμεθα, σὺ παρὼν ἐπανόρθου· δίκαιος δ' εἶ. καὶ ἐγὼ ἐθέλω τῶν ὡμολογημένων εἴ τί σοι δοκεῖ μὴ καλῶς ὡμολογῆσθαι, ἀναθέσθαι ὅ τι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυλάττῃς.

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Τὴν μακρολογίαν, ὦ Πῶλε, ἣν καθέρξῃς, ἢ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι.

ΠΩΛ. Τί δαί; οὐκ ἐξέσται μοι λέγειν ὁπόσα ἂν βούλωμαι;

E ΣΩ. Δεινὰ μέντ' ἂν πάθοις, ὦ βέλτιστε, εἰ Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν, ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις. ἀλλ' ἀντίθες τοι· σοῦ μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δεῖν' ἂν αὖ ἐγὼ πάθοιμι, εἰ

ἐπανορθοῖτε] Heind. reads, with one MS., ἐπανορθῶτε, adding, "Vulgo ἐπανορθοῖτε, quod soloece infertur post praegressum praesens tempus κτώμεθα. V. Dawes, Misc. Cr. p. 85." See however Porson on Eur. Ph. l. 68, "Hanc regulam (sc. Dawesianam) non videntur per omnia servasse Tragici: cf. Hec. 1121, 1131;" and Gram. Meerm. ap. Schaef. Greg. Cor. p. 647, τὰ εὐκτικὰ ἀντὶ ὑποτακτικῶν λαμβάνουσιν (οἱ Ἀττικοί). Comp. also Rep. iii. 410 C. "Hoc dicit, *ut nos*, id quod optamus, *sustentetis et erigatis*" (Stallb.).

καὶ νῦν] Tr., 'and if in the present discussion Gorgias and I are in danger of breaking down, pray come and help us up again, as it is but fair you should. On my part too I am prepared to cancel any of the premisses you may disapprove of, if you will oblige me by observing one condition.' ἀναθέσθαι is properly to revoke a move in a game of draughts. Hipparch. 229 E, ἀλλὰ μὴν καὶ ὥσπερ πεττεύων ἐθέλω σοι ἀναθέσθαι ὅ τι βούλει τῶν εἰρημένων.

D. καθέρξῃς] Vulg. καθείρξῃς: St. καθέξῃς with one MS., an impossible tense. The older form καθέρξῃς is preserved by Olymp. and the Bodl. and seven other MSS. Baiter, who has changed the καθείρξῃς of the first into καθέρξῃς in the second ed. of the Zürich, gives the following passages in justification: Rep. v. 461 B, ξυνέρξαντος: Tim. 34 C, ξυνέρξας: Polit. 285 B, ἔρξας: Tim. 18 D, σύνερξιν: Rep. v. 460 A, συνέρξεως: Thuc. v. 11, περιέρξαντες: Soph. Aj. 593, ξυνέρξετε: Oed. T. 890, 894, ἔρξεται. He might have added καθέργνυται in Cratin. ap. Polluc. 10. 160. As the tendency of the scribes would be to alter the older form into the more modern, I have adopted καθέρξῃς, which, as Baiter observes, is further confirmed by the corrupt reading καθέξῃς.

E. ἀτυχήσαις] Bas. 2 ἀποτυχήσαις: "bene" (Findeisen). Rather *male*, for Plato would have written ἀποτύχοις, an objection which seems to have escaped Ast. ἀτυχῶ occurs with the *gen.* in Isocr. Nicocl. p. 20, St., ἐὰν . . . μηδενὸς τούτων ἀτυχῇς.

ἀλλ' ἀντίθες τοι] This reading of the Bodl. and many other MSS. was restored by Bekk. in place of the vulg. τό or τί. Comp. Soph. El. 298, ἀλλ' ἴσθι τοι τἰσουσά γ' ἀξίαν δίκην, as one instance among many of the separation of ἀλλά and τοι. The meaning is, 'as a set-off to this, think what a hard case mine will be, if *you* are to hold forth without deigning to answer my questions, while *I* am not to be at liberty to leave the room, and get out of hearing.'

μὴ ἐξέσται μοι ἀπιέναι καὶ μὴ ἀκούειν σου; | ἀλλ' εἴ τι 462
κήδει τοῦ λόγου τοῦ εἰρημένου καὶ ἐπανορθώσασθαι αὐτὸν
βούλει, ὥσπερ νῦν δὴ ἔλεγον, ἀναθέμενος ὅ τί σοι δοκεῖ,
ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος, ὥσπερ ἐγώ τε καὶ
Γοργίας, ἔλεγχέ τε καὶ ἐλέγχου. φὴς γὰρ δήπου καὶ σὺ
ἐπίστασθαι ἅπερ Γοργίας. ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σαυτὸν ἐρωτᾶν ἑκάστοτε
ὅ τι ἄν τις βούληται, ὡς ἐπιστάμενος ἀποκρίνεσθαι;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει· ἐρώτα
ἢ ἀποκρίνου. B

XVII. ΠΩΛ. Ἀλλὰ ποιήσω ταῦτα. καί μοι ἀπό-
κριναι, ὦ Σώκρατες· ἐπειδὴ Γοργίας ἀπορεῖν σοι δοκεῖ
περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φὴς εἶναι;

ΣΩ. Ἆρα ἐρωτᾷς ἥντινα τέχνην φημὶ εἶναι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὥς γε πρὸς σὲ
τἀληθῆ εἰρῆσθαι.

ΠΩΛ. Ἀλλὰ τί σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Πρᾶγμα ὃ φὴς σὺ ποιῆσαι τέχνην ἐν τῷ συγ-
γράμματι ὃ ἐγὼ ἔναγχος ἀνέγνων. C

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Ἐμπειρίαν ἔγωγέ τινα.

462. Καὶ νῦν δή] νῦν δή, it is scarcely necessary to observe, has usually the sense of 'modo,' 'but now,' 'a short time ago' (ὀλίγον ἔμπροσθεν, as the grammarians explain it), and takes an imperf. and sometimes an aorist. It is so used a few lines above, ὥσπερ νῦν δὴ ἔλεγον, and in this sense is occasionally opposed to νῦν, as in a passage of the Laws (iii. 683 E), ἢ νῦν δὴ μὲν [ὀλίγον ἔμπροσθεν] τούτοις περιτυχόντες τοῖς λόγοις οὕτω ταῦτ' ἐτίθεμεν, νῦν δ' ἐπικελήσμεθα, whence Cobet ejects the palpable gloss ὀλίγον ἔμπροσθεν. Magnes Comicus (ap. Meineke ii. p. 10), εἰπέ μοι, νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φής, where, as well as in Eurip. Hipp. 233, Cobet reads νυνδή (following the analogy of ἐπειδή, δηλαδή, &c.). Compare by all means his Vv. Lectt. p. 233, "Confirmat hanc observationem et veram esse demonstrat quod νυνδή non dirimitur interposita particula, et dicitur νυνδὴ μέν, non νῦν μὲν δή, quod sicubi legitur videbis ad νῦν δή referendum, et cum praesenti tempore et futuro conjungi." In the passage before us, however, νῦν δή is used as τότε δή, αὐτίκα δή, &c., each adverb and particle retaining its ordinary sense. Stallb. has collected instances in his note: which perhaps are hardly called for.

B. Πρᾶγμα ὃ φὴς σὺ ποιῆσαι τέχνην] 'a thing which you say created Art.' See the quotation from his own book given by Polus, sup. 448 C, ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην.

ΠΩΛ. Ἐμπειρία ἄρα σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Ἔμοιγε, εἰ μή τι σὺ ἄλλο λέγεις.

ΠΩΛ. Τίνος ἐμπειρία;

ΣΩ. Χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας.

ΠΩΛ. Οὐκοῦν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι οἷόν τ' εἶναι ἀνθρώποις;

ΣΩ. Τί δέ, ὦ Πῶλε; ἤδη πέπυσαι παρ' ἐμοῦ ὅ τι φημὶ αὐτὴν εἶναι, ὥστε τὸ μετὰ τοῦτο ἐρωτᾷς εἰ οὐ καλή
D μοι δοκεῖ εἶναι;

ΠΩΛ. Οὐ γὰρ πέπυσμαι ὅτι ἐμπειρίαν τινὰ αὐτὴν φὴς εἶναι;

ΣΩ. Βούλει οὖν, ἐπειδὴ τιμᾷς τὸ χαρίζεσθαι, σμικρόν τί μοι χαρίσασθαι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἐροῦ νῦν με, ὀψοποιία ἥτις μοι δοκεῖ τέχνη εἶναι.

ΠΩΛ. Ἐρωτῶ δή, τίς τέχνη ὀψοποιία;

ΣΩ. Οὐδεμία, ὦ Πῶλε.

ΠΩΛ. Ἀλλὰ τί; φάθι.

ΣΩ. Φημὶ δή, ἐμπειρία τις.

ΠΩΛ. Τίνος; φάθι.

E ΣΩ. Φημὶ δή, χάριτος καὶ ἡδονῆς ἀπεργασίας, ὦ Πῶλε.

ΠΩΛ. Ταὐτὸν ἄρ' ἐστὶν ὀψοποιία καὶ ῥητορική;

ΣΩ. Οὐδαμῶς γε, ἀλλὰ τῆς αὐτῆς μὲν ἐπιτηδεύσεως μόριον.

ΠΩΛ. Τίνος λέγεις ταύτης;

ΣΩ. Μὴ ἀγροικότερον ᾖ τὸ ἀληθὲς εἰπεῖν· ὀκνῶ γὰρ Γοργίου ἕνεκα λέγειν, μὴ οἴηταί με διακωμῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα. ἐγὼ δέ, εἰ μὲν τοῦτό ἐστιν ἡ ῥητορικὴ
463 ἣν | Γοργίας ἐπιτηδεύει οὐκ οἶδα· καὶ γὰρ ἄρτι ἐκ τοῦ λόγου οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο τί ποτε οὗτος ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν ῥητορικήν, πράγματός τινός ἐστι μόριον οὐδενὸς τῶν καλῶν.

ΓΟΡ. Τίνος, ὦ Σώκρατες; εἰπέ, μηδὲν ἐμὲ αἰσχυνθείς.

E. Μὴ ἀγροικότερον ᾖ] 'I fear it may be somewhat uncivil to say the truth; for I shrink from speaking, out of deference to Gorgias, lest he should think that I am caricaturing his special pursuit."

XVIII. ΣΩ. Δοκεῖ τοίνυν μοι, ὦ Γοργία, εἶναί τι ἐπιτήδευμα τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις· καλῶ δὲ αὐτοῦ ἐγὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι B δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ἡ ὀψοποιική· ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δ' ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή. ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικήν, τέτταρα ταῦτα μόρια ἐπὶ τέτταρσι πράγμασιν. εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθανέσθω· οὐ γάρ πω πέπυσται ὁποῖόν φημ' ἐγὼ τῆς C κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος, ὁ δὲ ἐπανερωτᾷ εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι. ἐγὼ δ' αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι εἶναι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅ τι ἐστίν. οὐ γὰρ δίκαιον, ὦ Πῶλε· ἀλλ' εἴπερ βούλει πυθέσθαι, ἐρώτα ὁποῖον μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν.

ΠΩΛ. Ἐρωτῶ δή, καὶ ἀπόκριναι, ὁποῖον μόριον.

463. Δοκεῖ τοίνυν] This entire passage, as far as δικαιοσύνην, 466 C, is quoted by Aristides Rhetor in his spirited but verbose treatise De Rhetorica (p. 6, Dind.). I have noted many and adopted some of his various readings.

τι] Om. A. Rh.

ψυχῆς δὲ στοχαστικῆς] Isocr. c. Soph. 294, ταῦτα δὲ πολλῆς ἐπιμελείας δεῖσθαι, καὶ ψυχῆς ἀνδρικῆς καὶ δοξαστικῆς (f. στοχαστικῆς, Hirschig) ἔργον εἶναι,—as here, an enumeration of the qualities required in a rhetor. The coincidence between this passage and that in the text cannot be thought fortuitous; and as Isocrates wrote the speech against the Sophists at an early period (see Antid. § 7, p. 280, Zür.), it is probably Plato who is the borrower. There is some malice in the substitution of στοχαστικῆς, 'shrewd,' for the δοξαστικῆς of Isocr., who meant to describe a person, δοξάσαι περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον δυνάμενον τῶν εἰδέναι φασκόντων, which he boasts to have been his own case (Panath. 234 D). These considerations should, I think, prevent the acceptance of Hirschig's plausible conjecture noted above.

B. ἡ ὀψοποική] A qualitative adj. derived directly from ὀψοποιός. The art of the fancy-cook or *cuisinier*. Stephen injudiciously adopts ὀψοποιητική on inferior MS. authority. In A. Rh. the article ἡ is omitted.

ὡς δ' ὁ] So A. Rh.; vulg. ὡς δὲ ὁ.

C. φημ' ἐγώ] So A. Rh.; vulg. φημὶ ἐγώ.

ἐγὼ δ'] A. Rh.; vulg. ἐγὼ δέ.

εἴτε καλὸν εἴτε αἰσχρόν] A. Rh. εἴτε αἰσχρὸν εἴτε καλόν.

ὅ τι ἐστίν] A. Rh. ὅ ἐστιν.

πυθέσθαι] A. Rh. πυνθάνεσθαι.

ἀπόκριναι] A. Rh. ἀποκρ. μοι. With the entire passage which follows, and its tabulation of sciences and pseudo-sciences, the reader may compare a passage in the Antidosis of Isocrates, possibly suggested by the present. βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας ὥσπερ οἱ γενεαλογοῦντες πρῶτον διελθεῖν . . . ὁμολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς . . . οὕτω δὲ τούτων ἐχόντων ὁρῶντές τινες περὶ μὲν τῶν ἄλλων πολλὰς τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν οὐδὲν τοιοῦτον συντεταγμένον, εὑρόντες

D ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου; ἔστι γὰρ ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον.

ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι;

ΣΩ. Αἰσχρὸν ἔγωγε· τὰ γὰρ κακὰ αἰσχρὰ καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι ἃ ἐγὼ λέγω.

ΓΟΡ. Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς
E συνίημι ὅ τι λέγεις.

ΣΩ. Εἰκότως γε, ὦ Γοργία· οὐδὲν γάρ πω σαφὲς λέγω, Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς.

ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα, ἐμοὶ δ' εἰπὲ πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν.

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει. σῶμά που καλεῖς τι καὶ ψυχήν;

464 | ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Τί δέ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ; οἷον τοιόνδε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἀλλ' ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὃ ποιεῖ μὲν δοκεῖν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον.

διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν, περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικὴν ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν περὶ ἧς ἐγὼ μέλλω ποιεῖσθαι τοὺς λόγους, ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς ὁμολογουμένας, κ.τ.λ. Antid. § 193, Bekk. Observe the expressions ὥσπερ οἱ γενεαλογοῦντες and σύζυγας, as illustrative of those tabular arrangements of which Plato is so fond; and of which we have elaborate specimens in the Sophistes and Politicus.

E. Πῶλος δὲ ὅδε] Of course a play upon the name Polus. See Introd. and the passage there quoted from Aristotle's Rhet. The ὀξύτης of Polus arose from his failing to perceive the importance of knowing the τί ἐστι of the thing discoursed of. He inverts the natural order by asking for the ποιόν before he knows the τί. In fact he was ignorant of the first elements of the dialectic art. Gorgias is better instructed, and exclaims, with something of impatience, 'Oh! never mind *him*. Tell *me* what you mean by saying that Rhetoric is the image or counterfeit of a branch of the art Politic.'

464. ἀλλ' ἤ] So A. Rh.; vulg. ἄλλος ἤ.
ὃ ποιεῖ] So A. Rh.; vulg. ὅ τι.

ΓΟΡ. Ἔστι ταῦτα. B

XIX. ΣΩ. Φέρε δή σοι, ἐὰν δύνωμαι, σαφέστερον ἐπιδείξω ὃ λέγω. Δυοῖν ὄντοιν τοῖν πραγμάτοιν δύο λέγω τέχνας· τὴν μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δ' ἐπὶ [τῷ] σώματι μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαιοσύνην. ἐπικοινωνοῦσι C μὲν δὴ ἀλλήλαις, ἅτε περὶ τὸ αὐτὸ οὖσαι, ἑκάτεραι τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ· ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. τεττάρων δὴ τούτων οὐσῶν, καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν τῶν μὲν τὸ σῶμα, τῶν δὲ τὴν ψυχήν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω ἀλλὰ στοχασαμένη, τέτραχα

B. *τὴν μέν*] A. Rh. *τὴν μὲν οὖν*. Bekk. *καὶ τὴν μέν*, with one MS. *τῷ* before *σώματι* omitted in Bodl.

μίαν μὲν οὕτως] Of this idiomatic use of *οὕτως* see exx. Phaedr. 235 C, 'I cannot invent a single name on the instant.'

ἀντίστροφον μὲν τῇ γυμναστικῇ] So A. Rh.; vulg. *ἀντὶ μὲν τῆς γυμναστικῆς*. The repetition of *ἀντίστροφον* seems to me more forcible. The word is used with a dative Rep. x. 616 B; with a gen. Phileb. 40 D and elsewhere, as below, 465 D. It denotes a relation like that of 'strophe' and 'antistrophe' in poetry; or between the two wings of a regular façade in architecture, or a picture and its 'pendant,' &c.

C. *δικαιοσύνην*] I have retained *δικαιοσύνην* in preference to the rival reading *δικαστικήν*, which has the support of two inferior MSS., and is confirmed by the authors of the Prolegomena to Hermogenes, p. 9 (Rhett. Graeci, p. 22. 15, ed. Walz). But Quintilian certainly read *δικαιοσύνην* (Inst. Or. ii. c. 15, "duas partes civilitatis .. animo assignet, legalem atque justitiam"), which is also found in Aristides Rh., in the Schol. on this passage, and in Olympiodorus, who has the gloss, *πρὸς δικαιοσύνην ἀντὶ τοῦ πρὸς δικαστικήν*. Socr. is entitled to assume the identity of justice and dicastic, for he has just proved *ὅτι ὁ μεμαθηκὼς τὰ δίκαια δίκαιος*. He 'who has learnt all about justice' is the ideal dicast, and it is of his art that Socr. now speaks under the name of justice. A passage in the Politicus is illustrative of the present: *λείπεσθαι δὲ τὰ τίμια καὶ ξυγγενῆ (πολιτικῆς ἐπιστήμης), τούτων δ' ἐστί που στρατηγία καὶ δικαστική* (303 E). So inf. 520 B, we read, *κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς ὥσπερ νομοθετικὴ δικαστικῆς*, where however we find in the text quoted by Arist. Rh., as here, *δικαιοσύνης*. The passage of Rep. i. 332 D, where *δικαιοσύνη* is for the sake of the argument virtually identified with *δικαστική*, is not really in point, as the opinion is only advanced for the purpose of being refuted: nor is it safe to build upon a passage in a doubtful dialogue like the Clitophon (408 B), where *δικαιοσύνη* is identified with both *πολιτική* and *δικαστική*. But the passage from the Politicus proves that Plato could use *δικαστική* in a good sense, as the art of the model *δικαστής*, who, as we have seen, has been shown to be *δίκαιος*.

ἡ κολακευτική] Olymp. p. 62, *ἰστέον ὅτι τοσοῦτον διαφέρει, ὡς φησὶν Ἀριστοτέλης, φίλος κόλακος ὅσον τὸ ἀγαθὸν τοῦ ἡδέος*, alluding perhaps to Eth. N. ii. 7. 13.

τέτραχα—διανείμασα] The following scheme will assist the reader:—

ἑαυτὴν διανείμασα, ὑποδῦσα ὑπὸ ἕκαστον τῶν μορίων,
D προσποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ, ὥστε δοκεῖ πλείστου ἀξία εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιικὴ ὑποδέδυκε, καὶ προσποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι, ὥστ' ἂν δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις ὥσπερ οἱ παῖδες, πότερος ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν, ὁ ἰατρὸς ἢ ὁ
E ὀψοποιός, λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. κολακείαν μὲν
465 οὖν αὐτὸ καλῶ, καὶ αἰσχρόν φημι εἶναι τὸ τοιοῦτον, | ὦ Πῶλε—τοῦτο γὰρ πρὸς σὲ λέγω,—ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου· τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ὧν προσφέρει, οἷοῦ ἄττα τὴν φύσιν ἐστίν, ὥστε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν. ἐγὼ δὲ τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. τούτων δὲ πέρι εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον.

XX. Τῇ μὲν οὖν ἰατρικῇ, ὥσπερ λέγω, ἡ ὀψοποιικὴ
B κολακεία ὑπόκειται· τῇ δὲ γυμναστικῇ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἡ κομμωτική, κακοῦργός τε οὖσα καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασι καὶ χρώμασι



ὑπέδυ] Arist. Met. 3. 2. 19, *οἱ διαλεκτικοὶ καὶ σοφισταὶ ταὐτὸν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ.* Id. Rhet. i. 2. 7, *διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορική.* The metaphor seems taken from the stage: Luc. Pisc. c. 33, *ὑποδύεσθαι τὸν Δία*, 'to personate Jupiter;' Tim. Lex., *κομψὸς λόγος. καὶ ὁ ἀγαθὸς δὲ καὶ ὁ πιθανότητι ὑποδυόμενος τὴν ἀλήθειαν.* (In Xen. Oec. 14. 3, *ἢ καὶ τὴν δικαιοσύνην ὑποδύει διδάσκειν*, used for *ὑποδέχει*.)

D. *ὥστε δοκεῖ—ἀξία*] Ar. Rh. has *δοκεῖν* and *ἀξίαν*.

καὶ λειότησι καὶ ἐσθῆσιν ἀπατῶσα, ὥστε ποιεῖν ἀλλότριον κάλλος ἐφελκομένους τοῦ οἰκείου τοῦ διὰ τῆς γυμναστικῆς ἀμελεῖν. ἵν' οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι—ἤδη γὰρ ἂν ἴσως ἀκολουθήσαις—[ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο ὀψοποιικὴ πρὸς ἰατρικήν· μᾶλλον δὲ ὧδε,] ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν, C τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν, καὶ [ὅτι] ὃ ὀψοποιικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην. ὅπερ μέντοι λέγω, διέστηκε μὲν οὕτω φύσει· ἅτε δ' ἐγγὺς ὄντων φύρονται ἐν τῷ αὐτῷ καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες, καὶ οὐκ ἔχουσιν ὅ τι χρήσωνται οὔτε αὐτοὶ ἑαυτοῖς οὔτε οἱ ἄλλοι ἄνθρωποι τούτοις. καὶ γὰρ ἄν, εἰ μὴ ἡ ψυχὴ τῷ σώματι ἐπεστάτει, ἀλλ' αὐτὸ αὑτῷ, καὶ μὴ ὑπὸ

465 B. λειότησι καὶ ἐσθῆσιν] Vulg. λειότητι καὶ αἰσθήσει. Ar. Rh. has ἐσθῆτι, which confirms the (as it seems to me) certain emendation adopted by Bekker from three MSS., two of which give λειότησι and the other ἐσθῆσιν, which is also recommended by Heind. Tim. 65 C, τραχύτησί τε καὶ λειότησι. Hirschig gives ἐσθήσει, a word of doubtful note, to say nothing of the inelegance of the change from a significant plural to singular.

[ὅτι ὃ κομμωτική] The brackets in the text include the words omitted by Ar. Rh. μᾶλλον δὲ ὧδε sound to me like a gloss, introducing a duplicate reading. Certainly the terms of the proportion which Aristides retains are all that are necessary for Socr.'s purpose. The word κομμοῦν is of somewhat uncertain lineage. A scholiast derives it from κόμμι, *gummi*, which can hardly be true. Modern lexicographers connect it with κομεῖν, *comere*, or, still better, with κόσμος, κομψός. The arts of the κομμώτης or κομμωτρία are vividly described in a passage of the comic poet Alexis, quoted by Athen. xiii. p. 568 (Meineke iii. p. 422, Ἰσοστάσιον), and more briefly by Philostratus, Ep. 39, as ὀφθαλμῶν ὑπογραφαί, καὶ κομῶν προσθέσεις καὶ ζωγραφίαι παρειῶν καὶ χειλέων βαφαί. The corresponding Latin terms are *mango*, *mangonizare*, as in Plin. N. H. xxiii. 1, "Succus radicis vitis nigrae cum ervo laetiore quodam colore et cutis teneritate *mangonizat* corpora," a passage which illustrates λειότησι in the text. κομῶν προσθέσεις would come under the head of σχήμασι, which would *not* include ἐσθῆσι. Other σχήματα were the paddings with which lean persons eked out their figures, and the thick soles with which the dwarfish supplied their lack of stature, as set forth by Alexis in the edifying passage referred to. This use of σχήματα is analogous to its rhetorical sense. Illustrative of this analogy of the decorative and rhetorical art is likewise the following passage of Photius quoted by Jacobs (ap. Steph. Lex. ed. Dind.): ἐπανθεῖ τοῖς λόγοις (τοῦ Ἰσοκράτους) οὐ μόνον ἔμφυτον, ἀλλὰ καὶ κομμωτικὸν κάλλος.

C. ὅπερ—ῥήτορες] This passage seems to be correctly explained by Stallb., who understands ταῦτα after διέστηκε, and retains σοφισταὶ καὶ ῥήτορες as absolutely necessary to the sense, though omitted in one MS. and by Bekker at Schleiermacher's instigation. ὄντων refers apparently to rhetoric and sophistic. Tr., 'However, though as I say, there is this essential difference between the arts in question, yet as they are near neighbours, their professors, the sophist and the rhetor, are apt to be confounded as occupying common ground and employed upon the same subject-matter, insomuch that they know not what to make of each other (αὑτοῖς for ἀλλήλοις as freq.), nor indeed does the rest of the world know what to make of them.' Invectives against 'Sophists,' it may be observed, are as frequent in some of Isocrates's orations as in the Platonic dialogues (see esp. Isocr. c. Sophistas, Busiris, Helenes Encomium), and the Eristics entertained

D ταύτης κατεθεωρεῖτο καὶ διεκρίνετο ἥ τε ὀψοποικὴ καὶ ἡ ἰατρική, ἀλλ' αὐτὸ τὸ σῶμα ἔκρινε σταθμώμενον ταῖς χάρισι ταῖς πρὸς αὐτό, τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν, ὦ φίλε Πῶλε—σὺ γὰρ τούτων ἔμπειρος,—ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐτῷ, ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποικῶν. ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας· ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι. Ἴσως μὲν οὖν ἄτο-

E πον πεποίηκα, ὅτι σε οὐκ ἐῶν μακροὺς λόγους λέγειν αὐτὸς συχνὸν λόγον ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ συγγνώμην ἔχειν ἐστί· λέγοντος γάρ μου βραχέα οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει ἣν σοι ἀπεκρινάμην οὐδὲν οἷός τ' ἦσθα, ἀλλ' ἐδέου διηγήσεως. ἐὰν μὲν οὖν

466 καὶ ἐγὼ σοῦ ἀποκρινομένου μὴ ἔχω ὅ τι χρήσωμαι, | ἀπότεινε καὶ σὺ λόγον, ἐὰν δὲ ἔχω, ἔα με χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει εἴ τι ἔχεις χρῆσθαι, χρῶ.

XXI. ΠΩΛ. Τί οὖν φής; κολακεία δοκεῖ σοι εἶναι ἡ ῥητορική;

ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. ἀλλ' οὐ μνημονεύεις τηλικοῦτος ὤν, ὦ Πῶλε; τί τάχα δράσεις;

ΠΩΛ. Ἆρ' οὖν δοκοῦσί σοι ὡς κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες;

B ΣΩ. Ἐρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις;

doubtless an equal contempt for the more popular accomplishments of the professed rhetor, while both were in disrepute with the simple citizens, the *ἰδιῶται* of the day.

D. *τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν*] "Late pateret ac frequens esset illud Anaxagorae dictum" (Stallb.). The "dictum" occurred at the commencement of his celebrated treatise. See the authorities in Ritt. and Preller, Hist. Ph. § 61. Anaxagoras was the first to give to *νοῦς* or *ψυχή* the pre-eminence of which Socr. has just spoken.

ὡς ἐκεῖνο ἐν σώματι] i. e. *ὡς ἡ ὀψοποιία ἀντίστροφόν ἐστι τῇ ῥητορικῇ ἐν σώματι*. Rhetoric is a spiritual cookery, as cookery is a corporeal rhetoric. Each is the pendant or counterpart of the other.

466. *Κολακείας μὲν οὖν — δράσεις*] 'No! I called it a branch of Flattery. Is your memory failing, Polus, and you so young? What will you do presently?' He had understood Socr. to identify Rhetoric with Flattery, as if they had been co-extensive terms. *πρεσβύτης γενόμενος* formerly stood in the edd. after *δράσεις*, but some of the best MSS., including the Bodl., omit the words. That they are a gloss appears from another v. l., *νέος ὢν πρεσβύτης γενόμενος*—an interpretation of *τηλικοῦτος* as well as *τάχα*. There is certainly some difficulty about the use of *τάχα*, but perhaps Stallb.'s defence is satisfactory, "*τάχα* nunc facete et jocose de longiore temporis spatio dicitur." Comp. Ar. Ran. 528, *οὐ τάχ' ἄλλ' ἤδη ποιῶ*.

ΠΩΛ. Ἐρωτῶ ἔγωγε.

ΣΩ. Οὐδὲ νομίζεσθαι ἔμοιγε δοκοῦσιν.

ΠΩΛ. Πῶς οὐ νομίζεσθαι; οὐ μέγιστον δύνανται ἐν ταῖς πόλεσιν;

ΣΩ. Οὔκ, εἰ τὸ δύνασθαί γε λέγεις ἀγαθόν τι εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ λέγω γε.

ΣΩ. Ἐλάχιστον τοίνυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες.

ΠΩΛ. Τί δέ; οὐχ, ὥσπερ οἱ τύραννοι, ἀποκτιννύασί C τε ὃν ἂν βούλωνται, καὶ ἀφαιροῦνται χρήματα καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς;

ΣΩ. Νὴ τὸν κύνα, ἀμφιγνοῶ μέντοι, ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις, πότερον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνει, ἢ ἐμὲ ἐρωτᾷς.

ΠΩΛ. Ἀλλ' ἔγωγε σὲ ἐρωτῶ.

ΣΩ. Εἶεν, ὦ φίλε· ἔπειτα δύο ἅμα με ἐρωτᾷς;

ΠΩΛ. Πῶς δύο;

ΣΩ. Οὐκ ἄρτι οὕτω πως ἔλεγες, ὅτι ἀποκτιννύασιν οἱ ῥήτορες οὓς ἂν βούλωνται, ὥσπερ οἱ τύραννοι, καὶ χρήματ' ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων ὃν D ἂν δοκῇ αὐτοῖς;

ΠΩΛ. Ἔγωγε.

XXII. ΣΩ. Λέγω τοίνυν σοι ὅτι δύο ταῦτ' ἐστὶ τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται, ὡς ἔπος εἰπεῖν· ποιεῖν μέντοι ὅ τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι. E

C. Νὴ τὸν κύνα] 'I swear to you, Polus, that I am really in doubt, each time you speak, whether you are stating your own views, or asking my opinion.'

ἀποφαίνει] So Protag. 336 D, τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι: ib. 340 B. Stallb., following Bekk., places a colon after νὴ τὸν κύνα, thus making Socr. answer Polus's question in the affirmative, though he immediately afterwards declines to reply to it, as involving two questions instead of one. It seems to me that the position of μέντοι in the sentence is sufficiently justified by the passages adduced by Ast, viz. Gorg. 481 B, νὴ τοὺς θεοὺς ἀλλ' ἐπιθυμῶ: Arist. Nub. 652, νὴ τὸν Δί' ἀλλ' οἶδα. Clearly μέντοι could not *precede* ἀμφιγνοῶ, as ἀλλά could not have followed it. I do not therefore perceive the force of Stallb.'s objection.

ΠΩΛ. Οὐκοῦν τοῦτό ἐστι τὸ μέγα δύνασθαι;

ΣΩ. Οὔχ, ὥς γέ φησι Πῶλος.

ΠΩΛ. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε.

ΣΩ. Μὰ τὸν οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι φὴς ἀγαθὸν εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Φημὶ γὰρ οὖν.

ΣΩ. Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς μέγα δύνασθαι;

ΠΩΛ. Οὐκ ἔγωγε.

ΣΩ. Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας
467 καὶ τέχνην τὴν ῥητορικὴν ἀλλὰ | μὴ κολακείαν, ἐμὲ ἐξελέγξας. εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται, εἰ δὴ δύναμίς ἐστιν, ὡς σὺ φής, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι. ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι ποιοῦσιν ἃ βούλονται;

ΠΩΛ. Οὗτος ἀνήρ—

Ε. Οὐκοῦν τοῦτό ἐστι τὸ μέγα δύνασθαι] In illustration of this use of the article in the predicate, compare Mr. Shilleto's note on Dem. F. L. § 130, τοῦτο γάρ ἐστι τὸ λαμπρόν, where he refers to the expression of Callicles (492 C), τὰ δὲ ἄλλα ταῦτ' ἐστὶ τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν συνθήματα. Tr., 'Is not this what I called' (above, B) 'having great power?'

Ἐγὼ οὔ φημι] 'I say no? I tell you I say yes!'

Μὰ τόν] Olymp., διδάσκει ἡμᾶς ὡς δεῖ ἐθίζεσθαι κρατεῖν τῶν ὅρκων. A similar pious motive is assigned by the Greek interpreters for Socr.'s habit of swearing 'by the dog' and 'by the goose.' This however, it is to be feared, arose as much from whim as from piety, for in this dialogue (449 D) we find him swearing νὴ τὴν Ἥραν, and adjuring πρὸς Διός, in cases which hardly require the interposition of a deity. And as to the μὰ τόν, we find a like aposiopesis in Arist. Ran. 1374, μὰ τόν, ἐγὼ μὲν οὐδ' ἂν εἷς, κ.τ.λ., where no such motive can be assigned. See however the Schol. on that passage and Routh's learned note on this place. Compare also the sixth Platonic Epistle, *ad fin.*, where the writer's friends are bid to swear "at once with scholarly seriousness, and with that sportiveness, of which seriousness is twin-sister"—no inapt description, by the way, of the true Socratic temperament.

φής] Vulg. ἔφης, corr. Baiter.

467. κεκτήσονται] 'will have herein no advantage—nothing to congratulate themselves on:' a future distinguished from κτήσομαι as κέκτημαι 'to have' from κτῶμαι 'to acquire.'

Οὗτος ἀνήρ—] Schol., ὡσανεὶ ἔλεγεν, ὁ ἄνθρωπος οὗτος τί πάσχει; Socr. finishes the sentence for him. Comp. Rep. 506 B, οὗτος, ἦν δ' ἐγώ, ἀνὴρ καλός.

ΣΩ. Οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' B
ἔλεγχε.

ΠΩΛ. Οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι [, τούτου πρόσθεν] ;

ΣΩ. Καὶ γὰρ νῦν ὁμολογῶ.

ΠΩΛ. Οὐκοῦν ποιοῦσιν ἃ βούλονται.

ΣΩ. Οὔ φημι.

ΠΩΛ. Ποιοῦντες δὲ ἃ δοκεῖ αὐτοῖς ;

ΣΩ. Φημί.

ΠΩΛ. Σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες.

ΣΩ. Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. C

ΠΩΛ. Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ τι λέγεις.

XXIII. ΣΩ. Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο οὗ ἕνεκα πράττουσι τοῦθ' ὃ πράττουσιν ; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσι τοῦτο

B. [τούτου πρόσθεν] There can be no doubt that these words are a mere interpretation of ἄρτι, as Bekk. perceived. Stallb. defends them on the remarkable ground that they are "agreeable to the genius of the man," namely of Polus. See the note on νῦν δή, 462 A, and the passage there quoted from the Laws.

Σχέτλιά γε λέγεις] Vulg. σχέτλια λέγεις. The γέ is added from Olymp., as freq. in quasi exclamatory passages like the present. So, from Stobaeus, Heind. also; who refers to p. 473, ἄτοπά γε . . ἐπιχειρεῖς λέγειν.

ὦ λῷστε Πῶλε] "A jingle of sounds, such as Polus had prescribed in his art of Rhetoric. So in the Symp. (p. 185), Παυσανίου δὲ παυσαμένου (διδάσκουσι γάρ με ἅσα λέγειν οἱ σοφοί), and Hipparch. p. 225, καὶ χώρᾳ καὶ ὥρᾳ" (T. Gray). So also Olymp. p. 70, and Philostr. Vitt. Soph. § 13, who observe the same jingle in the foll. ἵνα προσείπω σε κατὰ σέ. Here again possibly Plato casts a side glance at Isocrates, who, as a pupil of Gorgias, frequently sins in this way.

C. Πότερον οὖν—πράττουσιν] "He is proving that fundamental principle of his doctrine, viz. that the wicked man is doing he knows not what, and sins only through ignorance: and that the end of his actions, like that of all other men, is good, but he mistakes the nature of it, and uses wrong means to attain it" (T. Gray). Compare Arist. Eth. Nic. iii. 6, ἡ δὲ βούλησις ὅτι μὲν τοῦ τέλους ἐστίν, εἴρηται, δοκεῖ δὲ τοῖς μὲν ἀγαθοῦ εἶναι, τοῖς δὲ τοῦ φαινομένου ἀγαθοῦ. συμβαίνει δὲ τοῖς μὲν τὸ βουλητὸν τἀγαθὸν λέγουσι μὴ εἶναι βουλητὸν ὃ βούλεται ὁ μὴ ὀρθῶς αἱρούμενος (εἰ γὰρ ἔσται βουλητόν, καὶ ἀγαθόν, ἦν δ', εἰ οὕτως ἔτυχε, κακόν), τοῖς δ' αὖ τὸ φαινόμενον ἀγαθὸν τὸ βουλητὸν λέγουσι μὴ εἶναι φύσει βουλητόν, ἀλλ' ἑκάστῳ τὸ δοκοῦν· ἄλλο δ' ἄλλῳ φαίνεται, καὶ εἰ οὕτως ἔτυχε, τἀναντία, κ.τ.λ. Also Meno, pp. 77, 78; Protag. 357 C. Gray refers his readers also to Locke's celebrated chapter on Power (Essay on Human Understanding, b. ii. c. xxi. §§ 41, 42), which is interesting from its coincidence with the Socratic view.

βούλεσθαι ὅπερ ποιοῦσι, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν, ἢ ἐκεῖνο, τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν;

ΠΩΛ. Δῆλον ὅτι τὸ ὑγιαίνειν [,οὗ ἕνεκα πίνουσιν].

D ΣΩ. Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτό ἐστιν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε· τίς γὰρ βούλεται πλεῖν τε καὶ κινδυνεύειν καὶ πράγματ' ἔχειν; ἀλλ' ἐκεῖνο, οἶμαι, οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσιν.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν οὕτω καὶ περὶ πάντων; ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα πράττει;

E ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν;

ΠΩΛ. Πολλῇ ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τἀναντία τούτων;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις,
468 ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, | ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου, οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά;

Δῆλον ὅτι—[πίνουσιν] This second *οὗ ἕνεκα πίνουσιν* is omitted in two MSS., and in Stobaeus, as it seems to me, rightly.

E. Ἆρ' οὖν ἔστι τι] This theory of ἀδιάφορα is put forward more hesitatingly in the Lysis, p. 216 D: *δοκεῖ μοι ὥσπερεὶ τρῖ' ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν. τί δὲ σοί;*—Καὶ ἐμοί, ἔφη. The terms of Polus's reply are to be understood *κατὰ τὸ σημαινόμενον*. "*Necesse est omnino*, sc. *omne quod sit unum ex his tribus esse*" (Buttm.). In the Lysis the theory is worked out in considerable detail, not, as here, assumed as self-evident: which we may take, with Schleierm., as an indication of the later date of the Gorgias. For Plato will often be found to take for granted in a later what he has been at great pains to prove in some earlier dialogue. In the Philebus (p. 43) we find an analogous distribution of *ἡδέα*, *λυπηρά* and *μηδέτερα*, which Plato employs in refutation of a well-known Cynical paradox.

ΠΩΛ. Οὔκ, ἀλλὰ ταῦτα.

ΣΩ. Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ;

ΠΩΛ. Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν.

ΣΩ. Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν, ὅταν B βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕστα-μεν, ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ. ἢ οὔ;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἀποκτίννυμεν, εἴ τινα ἀποκτίννυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμει-νον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἕνεκ' ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες.

ΠΩΛ. Φημί.

XXIV. ΣΩ. Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα C ταῦτα ποιοῦμεν;

ΠΩΛ. Μάλιστα.

ΣΩ. Οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλό-μεθα, ὡς φὴς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βου-λόμεθα, οὐδὲ τὰ κακά. ἢ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; Τί οὐκ ἀποκρίνει;

ΠΩΛ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀπο- D κτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ. ἢ γάρ;

ΠΩΛ. Ναί.

468 C. ἁπλῶς οὕτως] In the abstract; 'we do not will murder for murder's sake,' &c.
out of mere wantonness and without any ulterior view. Or, as we should say,

ΣΩ. Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; Τί οὐκ ἀποκρίνει;

ΠΩΛ. Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται.

ΣΩ. Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ
Ε πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν;

ΠΩΛ. Οὐκ ἔστιν.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται.

ΠΩΛ. Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή, οὐδὲ
15 ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα.

ΣΩ. Δικαίως λέγεις ἢ ἀδίκως;

469 ΠΩΛ. Ὁπότερ' | ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν;

ΣΩ. Εὐφήμει, ὦ Πῶλε.

ΠΩΛ. Τί δή;

ΣΩ. Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν.

ΠΩΛ. Τί δαί; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων;

ΣΩ. Πῶς γὰρ οὔ;

ΠΩΛ. Ὅστις οὖν ἀποκτίννυσιν ὃν ἂν δόξῃ αὐτῷ, δικαίως ἀποκτιννύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεινός;

ΣΩ. Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός.

ΠΩΛ. Οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι;

ΣΩ. Τὸν ἀδίκως γε, ὦ ἑταῖρε, ἀποκτείναντα, καὶ
Β ἐλεινόν γε πρός· τὸν δὲ δικαίως ἀζήλωτον.

469. ἐλεινός] Vulg. ἐλεεινός. See Porson's Pref. ad Hec. p. vi: "Atticae linguae analogia hanc scripturam flagitat. Ut enim a δέος formatur δεινός, ut a κλέος κλεινός, sic ab ἔλεος formatur ἐλεινός." The circumstance that the form ἐλεεινός is almost universally found in the tragedians, where the metre requires ἐλεινός, is a proof that the authority of the MSS. may be safely set aside in prose writers also. The Attic form is preserved in the case of the derivative adverb in Arist. Thesm. 1063, κλάειν ἐλεινῶς, and by one MS. in Soph. Phil. 870.

ΠΩΛ. Ἢ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεινός τε καὶ ἀθλιός ἐστιν.

ΣΩ. Ἧττον ἢ ὁ ἀποκτιννύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνήσκων.

ΠΩΛ. Πῶς δῆτα, ὦ Σώκρατες;

ΣΩ. Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν.

ΠΩΛ. Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον;

ΣΩ. Ἥκιστά γε.

ΠΩΛ. Σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν;

ΣΩ. Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγ- C
καῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

ΠΩΛ. Σὺ ἄρα τυραννεῖν οὐκ ἂν δέξαιο;

ΣΩ. Οὔκ, εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ.

ΠΩΛ. Ἀλλ' ἔγωγε τοῦτο λέγω ὅπερ ἄρτι, ἐξεῖναι ἐν τῇ πόλει, ὃ ἂν δοκῇ αὐτῷ, ποιεῖν τοῦτο, καὶ ἀποκτιννύντι καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὑτοῦ δόξαν.

XXV. ΣΩ. Ὦ μακάριε, ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ
ἐπιλαβοῦ. εἰ γὰρ ἐγὼ ἐν ἀγορᾷ πληθούσῃ λαβὼν ὑπὸ μά- D
λης ἐγχειρίδιον λέγοιμι πρὸς σὲ ὅτι Ὦ Πῶλε, ἐμοὶ δύναμίς

C. τῷ λόγῳ ἐπιλαβοῦ] Inf. 506 B, ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν.

D. ἐν ἀγορᾷ πληθούσῃ] h. e. in the forenoon. Herod. ii. 173; Athen. p. 279. 2. Xenophon says of Socr., πρωΐ τε εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι.

ὑπὸ μάλης] Schol., ἐπὶ τοῦ κρυφίως τι πράττειν, ὡς Δημοσθένης ἐν Ἀφόβῳ (p. 848. 12), 'ἀλλὰ μὴν οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ.' πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν, ἀλλὰ μασχάλας. Λυσίας—'καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας.' As synonymous phrases he mentions ὑπὸ κόλπον or ὑπὸ κόλπου. Comp. Aesch. Choeph. 73, δακρύω δ' ὑφ' εἱμάτων, and the vern. 'in the sleeve;' Fr., *sous cape*. Olymp. seems to have read, ὑπὸ μάλης ἐγχειρίδιον καὶ λύχνον, and below, εἰ οὖν ... δείξαιμι τὸ ἐγχειρίδιον καὶ τὸν λύχνον. The λύχνος may have been a bright thought of his own, to account for the burning of the arsenal, for which purpose a dagger would be an unsuitable implement. Or he may have really found the words in his copy. That ὑπὸ μάλης needs not to be interpreted literally here, we see from the following passage of the Laws (vii. 789 c), where, speaking of the mania for cock or quail fighting prevalent in Athens, Plato says, πρὸς τούτοις λαβόντες ὑπὸ μάλης ἕκαστος, τοὺς μὲν ἐλάττονας εἰς τὰς χεῖρας, μείζους δ' ὑπὸ τὴν ἀγκάλην ἐντός, πορεύονται περιπατοῦντες σταδίους παμπόλλους ἕνεκα τῆς εὐεξίας οὗ τι τῆς τῶν αὐτῶν σωμάτων ἀλλὰ τῆς τούτων τῶν θρεμμάτων, where Ast observes justly, "ὑπὸ μάλης λαβόντες generale est—de

τις καὶ τυραννὶς θαυμασία ἄρτι προσγέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων ὧν σὺ ὁρᾷς αὐτίκα μάλα δεῖν τεθνάναι, τεθνήξει οὗτος ὃν ἂν δόξῃ· κἂν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα, κἂν θοιμάτιον διεσχίσθαι,
E διεσχισμένον ἔσται· οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει. εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ ἐγχειρίδιον, ἴσως ἂν εἴποις ἰδὼν ὅτι Ὦ Σώκρατες, οὕτω μὲν πάντες ἂν μέγα δύναιντο, ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ ἥντιν' ἄν σοι δοκῇ, καὶ τά γε Ἀθηναίων νεώρια καὶ αἱ τριήρεις καὶ τὰ πλοῖα πάντα καὶ τὰ δημόσια καὶ τὰ ἴδια. ἀλλ' οὐκ ἄρα τοῦτ' ἔστι τὸ μέγα δύνασθαι, τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ. ἢ δοκεῖ σοι;

ΠΩΛ. Οὐ δῆτα οὕτω γε.

470 | ΣΩ. Ἔχεις οὖν εἰπεῖν δι' ὅ τι μέμφει τὴν τοιαύτην δύναμιν;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τί δή; λέγε.

ΠΩΛ. Ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί ἐστιν.

ΣΩ. Τὸ δὲ ζημιοῦσθαι οὐ κακόν;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν, ὦ θαυμάσιε, [τὸ μέγα δύνασθαι] πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ δοκεῖ ἕπηται τὸ

omnibus usurpatur quae occultantur et omnino teguntur, ne cadant vel effugiant, vel omnino conspiciantur." Arist. Lys. 985, *κἄπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων*, where the literal sense is equally excluded.

τῆς κεφαλῆς—κατεαγέναι] A sufficiently familiar use of the gen. of the part or place. Arist. Acharn. 1180, *τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών*: ib. Vesp. 1428. Herodian ap. Dind. ad Steph. Lex., *κατεαγὼς τῆς κεφαλῆς, οὐ μὴν πᾶσαν τὴν κεφαλήν, ἀλλὰ μέρος τι αὐτῆς.* Εὔπολις. *Οὐ γὰρ κατάξεις τῆς κεφαλῆς τὰ ῥάμματα.* But *κατεαγέναι τὴν κεφαλήν* is equally good Attic: Lysias, p. 99. 43. So *τὰ ὦτα κατεαγότων*, inf. 515 E. Here tr., 'If I resolve that any one of them should have his head broken, broken it shall be,' &c.

470. *Οὐκοῦν, ὦ θαυμάσιε*] The frequent repetition of *δύνασθαι* is at least unpleasing. In Olympiodorus's copy, the sentence plainly ended with *σμικρόν* (Comm. p. 78, Jahn), and I cannot but think that the first *τὸ μέγα δύνασθαι* was added in the margin by an interpreter who did not perceive that the subject of *εἶναι* is the clause *ἐὰν μὲν πράττοντι...ὠφελίμως πράττειν*. The student will observe that *ἐὰν μέν* is followed in apodosi by *εἰ δὲ μή*, not by *ἐὰν δὲ μή*. This usage is universal, where no second verb follows, *εἰ δὲ μή* having the force of *ἄλλως δέ*, *alioqui*. See Sympos. 185 D, *ἐὰν μέν σοι ἐθέλῃ παύεσθαι ἡ λύγξ, . . εἰ δὲ μή, ὕδατι ἀνακογχυλίασον* (for *ἐὰν δὲ μὴ ἐθέλῃ*).

ὠφελίμως πράττειν, ἀγαθόν τε εἶναι, καὶ τοῦτο, ὡς ἔοικεν, ἐστὶ τὸ μέγα δύνασθαι· εἰ δὲ μή, κακὸν καὶ σμικρὸν [δύνασθαι]. Σκεψώμεθα δὲ καὶ τόδε. ἄλλο τι ὁμολο- B γοῦμεν ἐνίοτε μὲν ἄμεινον εἶναι ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐλέγομεν, ἀποκτιννύναι τε καὶ ἐξελαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα, ἐνίοτε δὲ οὔ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται.

ΠΩΛ. Ναί.

ΣΩ. Πότε οὖν σὺ φὴς ἄμεινον εἶναι ταῦτα ποιεῖν; εἰπὲ τίνα ὅρον ὁρίζει.

ΠΩΛ. Σὺ μὲν οὖν, ὦ Σώκρατες, ἀπόκριναι ταὐτὸ τοῦτο.

ΣΩ. Ἐγὼ μὲν τοίνυν φημί, ὦ Πῶλε, εἴ σοι παρ' ἐμοῦ C ἥδιόν ἐστιν ἀκούειν, ὅταν μὲν δικαίως τις ταῦτα ποιῇ, ἄμεινον εἶναι, ὅταν δὲ ἀδίκως, κάκιον.

XXVI. ΠΩΛ. Χαλεπόν γέ σε ἐλέγξαι, ὦ Σώκρατες. ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν ὅτι οὐκ ἀληθῆ λέγεις;

ΣΩ. Πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ χάριν ἕξω, ἴσην δὲ καὶ σοί, ἐάν με ἐλέγξῃς καὶ ἀπαλλάξῃς φλυαρίας. ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε.

ΠΩΛ. Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν· τὰ γὰρ ἐχθὲς καὶ πρώην γε- D

D. τὰ γὰρ ἐχθὲς καὶ πρώην] 'yesterday or the day before—the other day,' Hom., χθιζά τε καὶ πρωΐζά: Thuc. iii. 113, οὐδένι ἐμαχόμεθα χθὲς ἀλλὰ πρώην. "As the time of this dialogue plainly appears (from that passage in p. 473, καὶ πέρυσι βουλεύειν λαχών, which is taken notice of by Athenaeus, v. 217) to be Ol. 93. 4 (B.C. 405), the year after the sea-fight at Arginusae, these words must be taken in a larger sense, as we say of a thing long past, 'It happened but the other day,' when we compare it with more ancient times: for Archelaus had now reigned at least nine years" (say eight years—see Clinton, F. H. ii. an. 414. 2, ib. p. 223), "and continued on the throne about six years longer. So in p. 503 in these words, Περικλέα τον- τονὶ τὸν νεωστὶ τετελευτηκότα, we must understand νεωστί in the same manner, for Pericles had been dead twenty-three years, but the time is there compared with that of Cimon, Themistocles, &c., who died many years before. Socr. indeed might have seen and remembered Cimon, the other two he could not. These particulars of Archelaus's history are curious and not to be met with elsewhere. Athenaeus (xi. 506) is absurd enough to question the truth of these particulars, or, supposing them to be true, he says that they are instances of Plato's ingratitude, who was much in favour with Archelaus. The passage which he cites immediately after from Carystius of Pergamus disproves all this, for it shows Plato's connexion to have

γονότα ταῦτα ἱκανά σε ἐξελέγξαι ἐστὶ καὶ ἀποδεῖξαι ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσιν.

ΣΩ. Τὰ ποῖα ταῦτα;

ΠΩΛ. Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου ὁρᾷς ἄρχοντα Μακεδονίας;

ΣΩ. Εἰ δὲ μή, ἀλλ' ἀκούω γε.

ΠΩΛ. Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος;

ΣΩ. Οὐκ οἶδα, ὦ Πῶλε· οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί.

E ΠΩΛ. Τί δαί; συγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ;

ΣΩ. Μὰ Δί' οὐ δῆτα.

ΠΩΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα.

ΣΩ. Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης.

ΠΩΛ. Τί δαί; ἐν τούτῳ ἡ πᾶσα εὐδαιμονία ἐστίν;

been with Perdiccas *the Third*, who began to reign thirty-five years after Archelaus's death, and was elder brother to the famous Philip of Macedon. We have an epistle of Plato to that prince still remaining. At the time of Archelaus's death, Plato was under thirty years of age" (T. Gray). The blunder of Athenaeus is almost incredible. It may serve as a criterion of the value of other malignant accusations of Plato and his school which we have no direct means of refuting. Archelaus is the king who entertained Euripides, and at whose court the poet died. His talent as a ruler is highly extolled by Thucydides (ii. 100). According to Aelian (V. H. xii. 43), *δούλης υἱὸς ἦν τῆς Σιμίχης*. The author of the Second Alcib. alludes to his death and its circumstances as *χθιζά τε καὶ πρωιζὰ γεγενημένα* (141 D). This anachronism hardly needs the elaborate apology of Mr. Clinton (l. l. p. 224, not. k), for the dialogue in which it occurs is the work of a later and probably an ignorant imitator. Anachronisms differ in kind and degree, and it is hardly possible to conceive that Plato or Xenophon (to whom the Alcib. ii. is by some attributed) would have represented Alcibiades, who died at a mature age in 404, as still young in B.C. 399; still less would either of these authors have introduced Socr. conversing with his young friend at least two years after his own death. Ibid. E, and Buttmann's note. The hand of an imitator is betrayed by the *χθιζά τε καὶ πρωιζά*, as compared with the *ἐχθὲς καὶ πρώην* of the passage before us.

E. *αὐτόθεν οὐ γιγνώσκεις*] 'don't you know already,' i. e. from the facts mentioned; as if he had said *ἐξ αὐτοῦ τοῦ ἄρχειν αὐτὸν Μακεδονίας*. Arist. Eq. 330, *δῆλός ἐστιν αὐτόθεν*. The passage from *οὐκ οἶδα* to *ἄδικος* is thus rendered by Cicero: "Haud scio, nunquam enim cum eo collocutus sum.—Ain' tu? an aliter id scire non potes?—Nullo modo. —Tu igitur ne de Persarum quidem rege magno potes dicere, beatusne sit?—An ego possim, quum ignorem, quam sit doctus, quam vir bonus?—Quid? tu in eo sitam vitam beatam putas?—Ita prorsus existimo: bonos beatos, improbos miseros.—Miser ergo Archelaus?—Certe, si injustus" (Tusc. Quaest. v. 12 [35]). The object of the chapter is to claim for Plato the credit of a sentiment afterwards maintained by Zeno of Citium, who is called "advena quidam et ignobilis verborum artifex." Cicero proceeds to translate a kindred passage from the Menexenus, p. 248, *ὅτῳ γὰρ ἀνδρί, κ.τ.λ.*

ΣΩ. Ὡς γε ἐγὼ λέγω, ὦ Πῶλε· τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον.

| ΠΩΛ. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ 471
τὸν σὸν λόγον;

ΣΩ. Εἴπερ γε, ὦ φίλε, ἄδικος.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος, ᾧ γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδὲν ἧν νῦν ἔχει, ὄντι ἐκ γυναικὸς ἣ ἦν δούλη Ἀλκέτου τοῦ Περδίκκου ἀδελφοῦ, καὶ κατὰ μὲν τὸ δίκαιον δοῦλος ἦν Ἀλκέτου, καὶ εἰ ἐβούλετο τὰ δίκαια ποιεῖν, ἐδούλευεν ἂν Ἀλκέτῃ καὶ ἦν εὐδαίμων κατὰ τὸν σὸν λόγον· νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν, ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν· ὃς γε πρῶτον μὲν τοῦτον αὐτὸν B
τὸν δεσπότην καὶ θεῖον μεταπεμψάμενος ὡς ἀποδώσων τὴν ἀρχὴν ἣν Περδίκκας αὐτὸν ἀφείλετο, ξενίσας καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ἀνεψιὸν αὑτοῦ, σχεδὸν ἡλικιώτην, ἐμβαλὼν εἰς ἅμαξαν νύκτωρ ἐξαγαγὼν ἀπέσφαξέ τε καὶ ἠφάνισεν ἀμφοτέρους. καὶ ταῦτα ἀδικήσας ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος καὶ οὐ μετεμέλησεν αὐτῷ, ἀλλ' ὀλίγον ὕστερον τὸν ἀδελφὸν τὸν γνήσιον, τοῦ Περδίκκου υἱόν, παῖδα ὡς ἑπτέτη, C
οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον, οὐκ ἐβουλήθη εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ, ἀλλ' εἰς φρέαρ ἐμβαλὼν ἀποπνίξας πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀποθανεῖν. τοιγάρτοι νῦν, ἅτε μέγιστα ἠδικηκὼς τῶν ἐν Μακεδονίᾳ, ἀθλιώτατός ἐστι πάντων Μακεδόνων ἀλλ' οὐκ εὐδαιμονέστατος, καὶ ἴσως ἔστιν ὅστις Ἀθηναίων ἀπὸ σοῦ

471 C. ἑπτέτη] Vulg. ἑπταετῆ. I have restored the undoubtedly Attic form. Comp. Arist. Ran. 421, ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας. So ἑξέτει in Nub. 862; ἑπτέτιν, Thesm. 480. The genuine form is preserved by the transcribers in Alcib. i. p. 121 E, ἐπειδὰν ἑπτέτεις γένωνται οἱ παῖδες, and in δεκέτης wherever it occurs in the text of Plato. On the other hand the vicious form δεκαέτηρος occurs Legg. 772 B, where δεκετήρης is found in one MS. and is probably the true reading. See Lobeck on Phrynichus, p. 406 foll., whose authority, supported by the unvarying practice of the Attic poets as well as by the testimony of the grammarians, outweighs that of "Bremius on Aeschines," to which Stallb. appeals in defence of the vulgate reading.

ἀπὸ σοῦ ἀρξάμενος] "nec te excepto" (Ast); "tuque imprimis s. interque eos

ἀρξάμενος δέξαιτ' ἂν ἄλλος ὁστισοῦν Μακεδόνων γενέσθαι
D μᾶλλον ἢ Ἀρχέλαος.

XXVII. ΣΩ. Καὶ κατ' ἀρχὰς τῶν λόγων, ὦ Πῶλε, ἔγωγέ σε ἐπῄνεσα ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλο τι οὗτός ἐστιν ὁ λόγος ᾧ με κἂν παῖς ἐξελέγξειε, καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ, φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν, ὦ γαθέ; καὶ μὴν οὐδέν γέ σοι τούτων ὁμολογῶ ὧν σὺ φῄς.

E ΠΩΛ. Οὐ γὰρ ἐθέλεις, ἐπεὶ δόκεῖ γέ σοι ὡς ἐγὼ λέγω.

ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥσπερ οἱ ἐν τοῖς δικαστηρίοις ἡγούμενοι ἐλέγχειν. καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων ὧν ἂν λέγωσι μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους, ὁ δὲ τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα, οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιός
472 ἐστι πρὸς τὴν | ἀλήθειαν· ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι. καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου σοι πάντες συμφήσουσι ταὐτὰ Ἀθηναῖοι καὶ οἱ ξένοι, ἐὰν βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι ὡς οὐκ ἀληθῆ λέγω. μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας ὁ Νικηράτου καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ,

tu primus" (Heind., who compares Rep. ii. 336 D; ib. vi. 498 C, &c.). Tr., 'And I dare say there are those in Athens who, with you at their head (following your lead), would rather change places with any Macedonian you could name than with King Archelaus.'

D. δοκεῖς] We should rather have expected ἐδόκεις, which at any rate is better than Heind.'s conj. δοκοῖς. He alludes to p. 448 D, δῆλος γάρ μοι Πῶλος . . . ὅτι τὴν καλουμένην ῥητορικὴν μᾶλλον μεμελέτηκεν ἢ διαλέγεσθαι, a remark here ironically called a compliment.

D. καὶ τοῦ Πυριλάμπους] Sc. Δήμου, the son of Pyrilampes being so called. "It is possible too that there may be a secret allusion to the Equites of Aristophanes, where the Athenian people is introduced as a person, under the name of Demus," &c. (T. Gray). This seems a needless refinement. Demus was in his bloom when the Vespae was acted (B.C. 422): Καὶ νὴ Δί' ἦν ἴδῃ γέ που γεγραμμένον Τὸν Πυριλάμπους ἐν θυρᾷ, Δῆμον καλόν (v. 98), where the Schol. remarks, ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος· ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα οὕτως· Δῆμος καλός. Demus was also mentioned by Eupolis in his play named Πόλεις: καὶ τῷ Πυριλάμπους ἆρ' ἐν ὠσὶ κυψέλη, as Meineke corrects the line quoted by the Schol. l. l. κυψέλη ἐν ὠσί, 'sordes in auribus,' was a figurative expression for dulness (compare the "purgatas aures" of Persius v. 63, and Bekk. Anecd. p. 425) which agrees well enough with the description of Demus in the text. He is also noted as effeminate (θηλυδρίας) by Libanius (Pro Salt. xix. p. 500 D), and by Athen. (ix. 397 C) he is said to have kept peacocks, inheriting this taste from his father Pyrilampes, according to Plutarch (Per. c. 13), who speaks of the ὀρνιθοτροφίαι τοῦ Πυριλάμπους ὡς ἑταίρου ἦν Περι-

τοτε, καίπερ ὄντος δεινοῦ, ὅτι ὁπόσ' ἂν φῇ σου τὰ παιδικὰ καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντιλέγειν, ἀλλ' ἄνω καὶ κάτω μεταβαλλομένου. ἔν τε [γὰρ] τῇ ἐκκλησίᾳ, Ε ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ Ἀθηναίων μὴ φῇ οὕτως ἔχειν, μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται, καὶ πρὸς τὸν Πυριλάμπους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦθ' ἕτερα πέπονθας. τοῖς γὰρ τῶν παιδικῶν βουλεύμασί τε καὶ λόγοις οὐχ οἷός τ' εἶ ἐναντιοῦσθαι, ὥστε, εἴ τίς σου λέγοντος ἑκάστοτε ἃ διὰ τούτους λέγεις θαυμάζοι ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ, εἰ βούλοιο τἀληθῆ λέγειν, ὅτι, εἰ μή τις παύσει | τὰ σὰ παιδικὰ τούτων τῶν λόγων, οὐδὲ 482 σὺ παύσει ποτὲ ταῦτα λέγων. νόμιζε τοίνυν καὶ παρ' ἐμοῦ χρῆναι ἕτερα τοιαῦτ' ἀκούειν, καὶ μὴ θαύμαζε ὅτι ἐγὼ ταῦτα λέγω, ἀλλὰ τὴν φιλοσοφίαν, τἀμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. λέγει γάρ, ὦ φίλε ἑταῖρε, ἀεὶ ἃ νῦν ἐμοῦ ἀκούεις, καί μοί ἐστι τῶν ἑτέρων παιδικῶν πολὺ ἧττον ἔμπληκτος· ὁ μὲν γὰρ Κλεινίειος οὗτος ἄλλοτ'

κλέους. Gray adds, "Demus is mentioned as a Trierarch in the expedition to Cyprus (as I imagine) about Ol. 98. 1, under Chabrias (Lysias de Bonis Aristoph. p. 340 [154])." If we assume 405 as the date of this dialogue, Demus is too old to be the παιδικά of Callicles. Comp. Protag. init. It is curious that the clauses relating to Demus and Alcibiades are entirely passed over in the version of Ficinus, which in other points also disagrees with the received text. In 513 B the clause, καὶ ναὶ μὰ Δία τῷ Πυριλάμπους γε πρός, is translated thus: "ac per Jovem insuper Pyrilampi," this being the only passage in which the name of Pyrilampes occurs in this version.

αἰσθάνομαι—σου—ὅτι—οὐ δυναμένου] The blending of two constructions—(1) αἰσθάνομαί σου οὐ δυναμένου, (2) αἰσθάνομαι ὅτι οὐ δύνασαι—is sufficiently justified by the passage quoted by Heind. from Thuc. iv. 37, γνοὺς δὲ ὁ Κλεὼν . . . ὅτι, εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτούς.

ὅτι ὁπόσ' ἂν φῇ] Some MSS. give ὅπως, others ἀντιφῇ. Here ὁπόσα refers to the number, ὅπως ἔχειν to the nature of his assertions. 'Let him say a thousand things in a day and all different.' I once suspected that the original reading was ὅπως ἂν φῇ σου τὰ παιδικὰ καὶ ὅπως ἂν μὴ φῇ ἔχειν, comparing E, ἐὰν ὁ δῆμος . . μὴ φῇ οὕτως ἔχειν. In the next sentence ἔν τε γὰρ, κ.τ.λ., γὰρ is not found in the Bodl. nor in many other codd. The asyndeton might, I think, be tolerated.

E. βουλεύμασι] βουλήμασι is also found, and agrees better with the foregoing ἃ ἐκεῖνος βούλεται. It is in Ald. and Steph. and perhaps ought not to have been altered, even in deference to overwhelming MS. authority. The words in question are perpetually interchanged in the codd., as few can fail to have observed.

482. πολὺ ἧττον ἔμπληκτος] 'she is far less flighty and fickle than her rival in my affections.' ἔκβλητος, mentioned as a v. l. by Olymp., is possibly a corruption of ἔκπληκτος, with which ἔμπληκτος is perpetually confounded. Comp. Hesych., ἐμπλήκτους μεμηνότας, εὐμεταθέτους: Soph. Aj. 1358, τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν, where the Schol. int. κοῦφοι: Eur. Tro. 1205, αἱ τύχαι, Ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε πηδῶσι, κοὐδεὶς ἀφτὸς εὐτυχεῖ ποτε: Plat. Lys. 214 D, ἐμπλήκτους τε καὶ ἀσταθμήτους (speaking of fickleness in friendship): Thuc. iii. 82 has τὸ ἐμπλήκτως ὀξύ, where see Arnold, who compares Aeschines, F. L.

ἄλλων ἐστὶ λόγων, ἡ δὲ φιλοσοφία ἀεὶ τῶν αὐτῶν. λέγει
B δὲ ἃ σὺ νῦν θαυμάζεις, παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις.
ἦ οὖν ἐκείνην ἐξέλεγξον, ὅπερ ἄρτι ἔλεγον, ὡς οὐ τὸ
ἀδικεῖν ἐστὶ καὶ ἀδικοῦντα δίκην μὴ διδόναι ἁπάντων
ἔσχατον κακῶν· ἢ εἰ τοῦτ' ἐάσεις ἀνέλεγκτον, μὰ τὸν
κύνα, τὸν Αἰγυπτίων θεόν, οὔ σοι ὁμολογήσει Καλλικλῆς,
ὦ Καλλίκλεις, ἀλλὰ διαφωνήσει ἐν ἅπαντι τῷ βίῳ. καίτοι
ἔγωγε οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον
C εἶναι ἀναρμοστεῖν τε καὶ διαφωνεῖν, καὶ χορὸν ᾧ χορη-
γοίην, καὶ πλείστους ἀνθρώπους μὴ ὁμολογεῖν μοι ἀλλ'
ἐναντία λέγειν μᾶλλον ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀσύμφωνον
εἶναι καὶ ἐναντία λέγειν.

XXXVIII. ΚΑΛ. Ὦ Σώκρατες, δοκεῖς νεανιεύεσθαι
ἐν τοῖς λόγοις ὡς ἀληθῶς δημηγόρος ὤν· καὶ νῦν ταῦτα
δημηγορεῖς ταὐτὸν παθόντος Πώλου πάθος, ὅπερ Γοργίου
κατηγόρει πρὸς σὲ παθεῖν. ἔφη γάρ που Γοργίαν ἐρωτώ-
μενον ὑπὸ σοῦ, ἐὰν ἀφίκηται παρ' αὐτὸν μὴ ἐπιστάμενος
τὰ δίκαια ὁ τὴν ῥητορικὴν βουλόμενος μαθεῖν, εἰ διδάξοι

p. 327 R. (§ 164), where πολιτείας ἐμπληξία means little more than 'political inconsistency.' In Hom. Od. xx. 132, ἐμπλήγδην, which is commonly interpreted 'insanely,' will better bear the meaning 'capriciously.' Later writers use these compounds to denote madness or folly in general, except in a few passages written in imitation of Attic models.

ὁ—Κλεινίειος] "Alcibiades had now left Athens, and taken refuge in Thrace, and the year after he was murdered" (T. Gray). The ἐστί seems to imply that Plato had forgotten this circumstance, or at any rate disregarded it.

C. χορὸν ᾧ χορηγοίην] For ᾧ ἂν χορηγῶ, an irregular use of the optative after a leading verb in the indic. pres. Comp. Soph. Oed. R. 979, εἰκῇ κράτιστον ζῶν ὅπως δύναιτό τις. In this passage οἶμαι—εἶναι is equivalent to οἶμαι ὅτι—εἴη ἄν, the case supposed being an imaginary one. The reading ἀναρμοστεῖν was first proposed by Van Heusde for the vulg. ἀνάρμοστον. The verb is found Soph. 253 A, and elsewhere in Plato. Tr., 'I cannot but think it better that my lyre should be out of order and give discordant notes, or that any chorus I had to lead should sing out of tune, or that great masses of men should disagree with and contradict me, — than that I, who am but one, should be out of harmony with myself and contradict my own assertions.'

Ὦ Σώκρατες, δοκεῖς νεανιεύεσθαι] 'you seem to me, Socr., to be reckless in your talk, like an arrant declaimer, as you are.' The word δημηγόρος is equally applicable to a 'stump-orator' and a fashionable preacher, to one who rants and to one who cants. Compare Theaet. 162 D, ὦ γενναῖοι παῖδές τε καὶ γέροντες, δημηγορεῖτε ξυγκαθεζόμενοι . . . καὶ ἃ οἱ πολλοὶ ἂν ἀποδέχοιντο ἀκούοντες, λέγετε ταῦτα, where the latter clause explains δημηγορεῖτε. In Demosth. Olynth. iii. § 3, πρὸς χάριν δημηγορεῖν = 'to speak *ad captandum*.'

καὶ νῦν, κ.τ.λ.] 'and if you now hold forth in this strain, it is because Polus has made the very mistake for which he blamed Gorgias'—the mistake of giving way to false shame. Presently εἰ διδάξοι depends on ἐρωτώμενον, according to the strict use of the fut. optat. in the obliqua oratio after a past tense. The MSS., as usual in this case, vacillate between διδάξει and διδάξοι.

αὐτὸν ὁ Γοργίας, αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν D
διὰ τὸ ἔθος τῶν ἀνθρώπων, ὅτι ἀγανακτοῖεν ἂν εἴ τις μὴ
φαίη· διὰ δὴ ταύτην τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία
αὐτὸν αὐτῷ εἰπεῖν, σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν. καί σου
κατεγέλα, ὡς γ' ἐμοὶ δοκεῖν, ὀρθῶς τότε. νῦν δὲ πάλιν
αὐτὸς ταὐτὸν τοῦτο ἔπαθε, καὶ ἔγωγε κατ' αὐτὸ τοῦτο οὐκ
ἄγαμαι Πῶλον, ὅτι σοι συνεχώρησε τὸ ἀδικεῖν αἴσχιον
εἶναι τοῦ ἀδικεῖσθαι· ἐκ ταύτης γὰρ αὖ τῆς ὁμολογίας
αὐτὸς ὑπὸ σοῦ συμποδισθεὶς ἐν τοῖς λόγοις ἐπεστομίσθη, E
αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι, ὦ Σώκρατες,
εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φάσκων τὴν
ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ.
ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις
καὶ ὁ νόμος. ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολμᾷ | 483
λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία λέγειν. ὃ δὴ καὶ
σὺ τοῦτο τὸ σοφὸν κατανενοηκὼς κακουργεῖς ἐν τοῖς

D. σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν] Supr. 461 C, τοῦθ' ὃ δὴ ἀγαπᾷς, αὐτὸς ἀγαγὼν ἐπὶ τοιαῦτα ἐρωτήματα.

ὡς γ' ἐμοὶ δοκεῖν] Meno 81, ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν. Soph. El. 410, ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί. Herod. ii. 124, ὡς γ' ἐμοὶ δοκέειν.

E. ἐπεστομίσθη] 'gagged,' i. e. silenced and put down.

σὺ γὰρ τῷ ὄντι] 'For it is you, in point of fact, Socr., who, under pretence of pursuing the truth, lead your hearers to adopt (pass off upon your audience) a set of stale popular fallacies, grounded on legal (conventional) notions of the fair and comely, which have no foundation in nature.' Schol., φορτικὰ τὰ βάρος ἐμποιοῦντα (*molesta, putida*). δημηγορικὰ τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν.

483. ὃ δὴ καὶ σὺ τοῦτο] "Verba τοῦτο τὸ σοφόν epexegeseos instar praegressi ὅ interposita sunt usu satis trito . . Soph. Ant. 404, Ταύτην γ' ἰδὼν θάπτουσαν, ὃν σὺ τὸν νεκρὸν Ἀπεῖπας: ubi Schol., τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτειν· οὕτως δὲ χρῶνται οἱ παλαιοὶ . . . Κρατῖνος, Ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν" (Heind.). To the numerous examples he gives from Rep. 579 C, 583 E, &c., may be added Hyperides pro Euxenippo, Col. 19, ὧν οὐδεμία δήπου τῶν αἰτιῶν τούτων οὐδὲν κοινωνεῖ τῷ εἰσαγγελτικῷ νόμῳ. For κακουργεῖς ἐ. τ. λόγοις compare inf. 489 B, ἃ δὴ καὶ ἐγὼ γνοὺς κακουργῶ ἐν τοῖς λόγοις. Routh has seized the point of the clause, τοῦτο τὸ σοφὸν κατανενοηκώς, which contains an allusion to Socr.'s early training under the Ionic philosopher Archelaus, to whom was assigned the credit of having invented the antithesis between τὰ νόμῳ καλά and τὰ φύσει. The passage Routh quotes from Aristotle is highly illustrative of this portion of the dialogue: πλεῖστος δὲ τόπος ἐστὶ τοῦ ποιεῖν παράδοξα λέγειν, ὥσπερ καὶ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ γέγραπται λέγων, καὶ οἱ ἀρχαῖοί γε πάντες φόντο συμβαίνειν, παρὰ τὸ κατὰ φύσιν καὶ κατὰ τὸν νόμον. ἐναντία γὰρ εἶναι φύσιν καὶ νόμον, καὶ τὴν δικαιοσύνην κατὰ νόμον μὲν εἶναι καλὸν κατὰ φύσιν δ' οὐ καλόν. δεῖν οὖν πρὸς μὲν τὸν εἰπόντα κατὰ φύσιν κατὰ νόμον ἀπαντᾶν, πρὸς δὲ τὸν κατὰ νόμον ἐπὶ τὴν φύσιν ἄγειν· ἀμφοτέρως γὰρ εἶναι λέγειν παράδοξα. ἦν δὲ τὸ μὲν κατὰ φύσιν αὐτοῖς τὸ ἀληθές, τὸ δὲ κατὰ νόμον τὸ τοῖς πολλοῖς δοκοῦν· ὥστε δῆλον ὅτι κἀκεῖνοι, καθάπερ καὶ οἱ νῦν, ἢ ἐλέγξαι ἢ παράδοξα λέγειν τὸν ἀποκρινόμενον ἐπεχείρουν ποιεῖν (Soph. Elench. c. 12, § 6). Comp. Diog. Laert. ii. 4, Ἀρχέλαος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους . . . ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς. καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων· παρ' οὗ λαβὼν Σωκράτης τῷ

λόγοις, ἐὰν μέν τις κατὰ νόμον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥσπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν γὰρ πᾶν αἴσχιόν ἐστιν ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν. οὐδὲ γὰρ
B ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλ' ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν, ὅστις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τ' ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὐτοὺς οὖν καὶ τὸ αὐτοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν, ἐκφοβοῦντές τε τοὺς ἐρρωμενεστέρους
C τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν, ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτο ἔστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι, αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες.

αὐξῆσαι αὐτὸς εὑρεῖν ὑπελήφθη. ἔλεγε δὲ . . . τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. In the sequel ὑπερωτῶν is explained by Ast, "interrogans ita ut aliud quid subjiciat;" but probably ὑπό has the same force as in ὑπολαβεῖν, so that ὑπερωτῶ shall be equivalent to ὑπολαβὼν ἐρωτῶ. The sense will thus be: 'meeting your opponent with a question framed in accordance with the *natural* sense of the terms employed,' he having employed the same or similar terms, τὸ αἰσχρόν, τὸ καλόν, τὸ δίκαιον, in their *conventional* sense. The word ὑπερωτῶν is not found in any other classical writer.

ἐδιώκαθες] "urgebas" (Ast in Lex. v. διωκάθω). But ἐδιώκαθες is an aorist, not an imperfect, nor is there such a word as διωκάθω. This point seems to be proved by Elmsley (Annot. in Eurip. Med. p. 113, not. y): "Rectius ἀμυναθεῖν, διωκαθεῖν, εἰκαθεῖν, εἰργαθεῖν, ut ἀγαγεῖν:" cet. Dind. assents (H. Steph. Lex. Gr. in v. διωκαθεῖν). Tr., 'when Polus meant that which was legally or conventionally fouler, you dealt with his conventionalism as if he had been speaking the language of nature,' i. e. you made his conventional to include a natural deformity.

φύσει μὲν γὰρ—τὸ ἀδικεῖσθαι] Dobree proposes the ejection of τὸ ἀδικεῖσθαι νόμῳ δὲ τὸ ἀδικεῖν. As a milder remedy Stallb. suggests πᾶσιν for πᾶν. Steph. would have read οἷον τὸ ἀδικεῖσθαι, which does not much mend the matter. I had bracketed the clause, but am now disposed to leave it untouched, not because I think Dobree's conjecture "inane," but because the context seems to require either these or other equivalent words. Olympiodorus remarks on this passage, εἰ δὲ ἀδικεῖταί τις περὶ τὰ ἐκτὸς ἢ τὸ σῶμα, οὐκ ἔστι κακόν. οὐδὲ γὰρ συνεγενήθημεν τούτοις, ὥστε τὰ μὴ ἐφ' ἡμῖν ἀπολλύντες οὐκ ὀφείλομεν ἀχθέσθαι· εἰ δὲ ἀδικοῖτο ἡ ψυχή, κάκιστον· καὶ δεῖ τότε σπεύδειν ταύτης ἀπαλλαγῆναι τῆς ἀδικίας. φροντίσωμεν οὖν τοῦ σωθῆναι τὴν ψυχήν, εἰδότες ὡς τὰ χρήματα καὶ τὸ σῶμα οὐδὲν συμβάλλονται. ποιήσωμεν οὖν ὃ εἶπεν ἐκεῖνος. Αὐτὸν μέν μ' ἐσάωσα· τί μοι μέλει; ἀσπὶς ἐκείνη Ἐρρέτω. The words quoted are from Archilochus, and are generally cited thus: αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος·

XXXIX. *Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνει αὖ ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον* D *ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ Σκύθας; ἢ ἄλλα μυρί' ἄν τις ἔχοι τοιαῦτα λέγειν. ἀλλ',* E *οἶμαι, οὗτοι κατὰ φύσιν [τὴν τοῦ δικαίου] ταῦτα πράττουσι, καὶ ναὶ μὰ Δία κατὰ νόμον γε τὸν τῆς φύσεως, οὐ μέντοι ἴσως κατὰ τοῦτον ὃν ἡμεῖς τιθέμεθα πλάττοντες*

ἀσπὶς ἐκείνη Ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω. But in Aristoph. Pac. 1267, the former line begins, *ψυχὴν δ' ἐξεσάωσα*. It would therefore seem that there were several readings of this celebrated Elegy. Possibly the Aristophanic included the *τί μοι μέλει;* of Olymp.

ἀποφαίνει αὖ] Restored by Bekk. from one MS. in place of *αὐτό*, which Stallb. defends. Vulg. *ὃν ἀποφαίνοι ἄν*, which he rejects as "lenius ac modestius quam pro Calliclis superbia et confidentia."

D. *δηλοῖ*] This verb may be in construction with *φύσις*, but it is better to regard it as intransitive, either in construction with *ταῦτα*, or, better still, as impersonal. 'That such is the case may be seen in a variety of instances; both among the inferior animals, and in the great civic communities of the human race, as well as in whole families.' The sentiments of Callicles, though differing somewhat in terms, are substantially the same with the doctrine attributed to Thrasymachus in the first book of the Republic, p. 338 C fol., *τὸ δίκαιον οὐκ ἄλλο τι εἶναι ἢ τὸ τοῦ κρείττονος ξυμφέρον*.

ἐπεί] 'what right for instance had Xerxes to invade Greece?' *ἐπεί* is frequently thus used with the imp. or an interrog. Comp. Protag. 319 E, *ἐπεὶ Περικλῆς, κ.τ.λ.*: sup. 473 E, *ἐπεὶ ἐροῦ τινὰ τουτωνί*, where see the note.

ἢ ἄλλα μυρί' ἄν] Routh quotes Apol. 41 B, *ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας*.

E. [*τὴν τοῦ δικαίου*] Schleierm. first cast suspicion on these words, which have evidently crept in from the margin.

τιθέμεθα πλάττοντες] Explained as equiv. to *τιθέμενοι πλάττομεν*, 'the laws we model in our legislation.' *πλάττειν* is joined with *νόμος*. Also in Legg. 712 B, *πειρώμεθα, καθάπερ παῖδα πρεσβῦται, πλάττειν τῷ λόγῳ τοὺς νόμους*. So with *πόλιν*, Rep. 374, in the sense of shaping an ideal commonwealth. The word, of course, originally meant to mould in wax or clay, as the sculptor his models, but in its metaphorical sense it is far more frequently applied to persons or parts of persons, as *σῶμα* or *ψυχήν*, than to inanimate things, as indeed appears from the passage quoted from the Laws. On this account, I know not whether Ast's punctuation is not better than that in the text: *τιθέμεθα. πλάττοντες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων λαμβάνοντες* (i. e. *οὕσπερ ἐκ νέων λαμβάνομεν*), *κ.τ.λ.* The asyndeton may be compared with that in Protag. 325 C, *ἐκ παίδων σμικρῶν ἀρξάμενοι, κ.τ.λ.*, and the passage may be thus translated: 'in bringing into shape (educating) the best and most vigorous of our youth, we take them in hand at an early age, and tame them as men tame lions, plying them with spells and sorceries, and telling them,' &c. The art of beast-taming was brought to great perfection at Athens, according to Isocrates,

τοὺς βελτίστους καὶ ἐῤῥωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων λαμβάνοντες, ὥσπερ λέοντας κατεπάδοντές τε καὶ
484 γοητεύοντες καταδουλούμεθα | λέγοντες ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ τοῦτό ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ διαῤῥήξας καὶ διαφυγών, καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ φύσιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέλαμψε
B τὸ τῆς φύσεως δίκαιον. δοκεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει ὅτι Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθα-

Antid. § 228: *καθ' ἕκαστον τὸν ἐνιαυτὸν θεωροῦντες ἐν τοῖς θαύμασι τοὺς μὲν λέοντας πραότερον διακειμένους πρὸς τοὺς θεραπεύοντας ἢ τῶν ἀνθρώπων ἔνιοι πρὸς τοὺς εὖ ποιοῦντας, τὰς δ' ἄρκτους καλινδουμένας καὶ παλαιούσας καὶ μιμουμένας τὰς ἡμετέρας ἐπιστήμας.* Juvenal too speaks of a tame lion as one of the domestic pets of a Roman gentleman (vii. 75). Aesch. Ag. 696, *ἔθρεψεν δὲ λέοντος Ἰνιν δόμοις ἀγάλακτον, κ.τ.λ.*

484. *ἐὰν δέ γε*] 'Ay, but if there come a thoroughly strong-minded man, he, methinks, will shake off from him and tear asunder and escape from these trammels; he will tread under foot our prescriptions, our witcheries and spells, in a word, every ordinance that is at variance with nature; until, rising in open rebellion, he, the sometime slave, appears in a new character as our master; and herein does Nature's Justice shine forth in full lustre.'

μαγγανεύματα] Legg. 933 C, *μαγγανεύμασι καὶ φίλτροις*: Arist. Plut. 309, *οὐκοῦν σε τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν Καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους.* Hesych., *μάγγανα, φάρμακα, δίκτυα, γοητεύματα.* The form *μαγγανεία* is found twice in the Laws—908 D, and 933 A—coupled in the latter passage with *φαρμακεία, ἐπῳδαί,* and *καταδέσεις.* The alleged etymology is *μάσσω,* whence *μαγ-ίς, μάγειρος.* Sanscr. Masg, to soak—*feuchtmachen* (Benfey, Würz. Lex. i. p. 515). Others derive the word from *μάγος* directly.

B. *Νόμος ὁ πάντων βασιλεύς*] This remarkable fragment is thus restored and interpreted by Boeckh, Frag. Pind. 151: . . . *κατὰ φύσιν . . . Νόμος ὁ πάντων βασιλεὺς Θνατῶν τε καὶ ἀθανάτων Ἄγει δικαιῶν τὸ βιαιότατον Ὑπερτάτᾳ χερί· τεκμαίρομαι Ἔργοισιν Ἡρακλέος, ἐπεὶ Γηρυόνᾳ βόας Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος Ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν*: "Secundum rerum naturam . . . Lex omnium dominus mortalium et immortalium affert vim maximam, justam eam efficiens, potentissima manu. Id assero ex Herculis facinoribus: quippe Geryonae boves ad Cyclopia Eurysthei vestibula neque prece nec pretio adeptus egit." Of the words not found in the text *κατὰ φύσιν* are restored by comparison of p. 488 B of this dial. with Legg. 690 B, with a gloss in Hesych. (*Νόμος. πάντων ὁ βασιλεὺς κατὰ τὴν φύσιν*), and some other passages; *Γηρυόνα . . . καί* and *ἤλασεν,* from a Scholion on Aristides Rhet. ii. 52, to which Boeckh was the first to call attention. *ἀναιτήτας,* 'unbegged,' though a *ἅπαξ λεγόμενον,* is a probable emendation of the unmeaning *ἀναιρεῖτον* of the Schol. referred to. For *δικαιῶν* in the text of Plato h. l. the MSS. give *βιαίων* and *βιαιῶν,* whence the vulg. *βιαίως.* But *δικαιῶν* is found both in the text of Aristides, l. l., and in the Schol. to Pind. Nem. ix. 35; also in Plat. Legg. iv. 714 E. On the whole, the restoration may be considered satisfactory, as it is certainly most skilful. But to Boeckh's interpretation of *ἄγει* Ast demurs, and with apparent reason, for *βίαν* or *τὸ βιαιότατον ἄγειν* can hardly mean "vim" or "*vim maximam afferre.*" His own interpretation is better: "Abigit (ut Hercules boves) *s.* rapit. Sic 488 B, *ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων.*"

νάτων· οὗτος δὲ δή, φησίν, ἄγει, δικαιῶν τὸ βιαιότατον, ὑπερτάτᾳ χερί· τεκμαίρομαι ἔργοισιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας—λέγει οὕτω πως· τὸ γὰρ ᾄσμα οὐκ ἐπίσταμαι. λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς, ὡς τούτου ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα C τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων. ⊠

XL. Τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει, γνώσει δέ, ἂν ἐπὶ τὰ μείζω ἔλθῃς ἐάσας ἤδη φιλοσοφίαν. φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως

At the same time it is not impossible that the dependent noun to ἄγει is lost with the context. Provisionally the words may be rendered, 'carries all with a high hand, justifying the extreme of violence;' i. e. turning might into right; and the entire fragment may be thus paraphrased: 'There is a law of nature, the law of the stronger, to which all in heaven and earth must submit, and which overrides at times all positive enactments, justifying deeds of violence which are condemned by human codes. This law sanctioned many of the exploits of Hercules, otherwise indefensible: as in particular, that in which he seized without money paid or leave asked, the cows of Geryones, and drove them from the far-west away to the palace of Eurystheus, at Argos.' The same thought is expressed in homelier language by Wordsworth, in his poem on Rob Roy's Grave:—

"For why? because the good old rule,
Sufficeth them; the simple plan,
That they should take who have the power,
And they should keep who can."

The phrase *νόμος πάντων βασιλεύς*, detached from the context, very soon became proverbial; and was used by Herodotus and many after him, to signify the 'tyranny of custom,' a sense nearly the reverse of that in which Pindar uses it. See Herod. iii. 38, *καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι.* When Boeckh speaks of a law of fate, "fatalis lex," he introduces an idea equally foreign to Pindar's drift. The Law spoken of is that which the Greeks understood by χειρῶν νόμος (Aeschines c. Tim. § 5), the Germans by 'Faust-recht,' and we by 'Club-law,' or the 'law of the stronger,' as I have paraphrased it. This sense alone agrees with the context in Plato, who in the Legg. (690 C) contrasts, with a reference to this passage, *τὴν τοῦ νόμου ἐκόντων ἀρχήν* with *βίαιον*. Ast takes *τὸ βιαιότατον* adverbially, translating *ἄγει δικαιῶν* "rapit ex suo jure agens;" but I cannot agree with him. The Schol. on Aristides has by way of interpretation *τὸ δίκαιον ἐν ἰσχυροτάτῃ χερὶ ἀνθεῖ.* Did he read ἄνει for ἄγει in Pindar's text?

ἐπίσταμαι] This verb is frequently used in the sense of knowing by rote, as in Phaedo 61 B, *οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου*, and other passages quoted by Ast. It is also used to denote personal acquaintance: as by Aristoph. Equit. 1278, *νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται.*

C. *φιλοσοφία γάρ τοι*] This view of the use and abuse of philosophy was doubtless very generally adopted by men of quality and education, in Athens as elsewhere, and it is a proof of Plato's dramatic impartiality, distinguishing him favourably from most writers of dialogues, that he should have put words into the mouth of Callicles which to the majority of his contemporaries would seem the perfection of good sense and political wisdom. Isocrates, a much more decorous character than Callicles, indeed a model of conventional propriety, speaks precisely to the same effect in more than one of his orations. For instance, in the

ἄψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόρρω τῆς ἡλικίας φιλοσοφῇ, ἀνάγκη πάν-
D των ἄπειρον γεγονέναι ἐστίν, ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γίγνονται τῶν κατὰ τὴν πόλιν, καὶ τῶν λόγων οἷς δεῖ χρώμενον ὁμιλεῖν ἐν τοῖς συμβολαίοις τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων, καὶ συλλήβδην

Panathenaicus (p. 238 B) he observes, *τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλουμένους, οἷς οἱ μὲν νεώτεροι μᾶλλον χαίρουσι τοῦ δέοντος, τῶν δὲ πρεσβυτέρων οὐδεὶς ἔστιν ὅστις ἂν ἀνεκτοὺς αὐτοὺς εἶναι φήσειεν. ἀλλ' ὁμῶς ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα παρακελεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι τούτοις, λέγων ὡς εἰ καὶ μηδὲν ἄλλο δύναται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθόν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. τοῖς μὲν οὖν τηλικούτοις οὐδέποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων οὐδὲ μᾶλλον πρεπούσας. τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ' εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν μαθητῶν, ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν.* The appositeness of this quotation must excuse its length. More to the same effect will be found in Antid. § 280 fol. (Bekker), in the Helenes Encom. init. and other speeches: some of which contain obvious polemical insinuations aimed at Plato and his school. The Xenophontic Socrates will be found also to agree with Callicles in his sentiments on this subject, better at least than with his Platonic self. Comp. Mem. iv. 7. 2 fol.—Socr., as a philosopher, argues Callicles, might naturally doubt the truth of these doctrines: but let him take part in the serious affairs of life, and his doubts will disappear. 'For Philosophy is doubtless a pretty thing—a nice amusement—if studied in youth, and within reasonable bounds: but it is absolute ruin to those who remain at their studies too long: in fact, let a man be ever so highly gifted, if he philosophize to an advanced period of life, it is impossible he can be versed in those accomplishments which every gentleman, every man of consideration, should possess.' *ἐν ἡλικίᾳ* means, strictly speaking, 'at the proper age,' according to the original sense of the word *ἡλίκος*. It may therefore denote youth, or manhood, or mature life, according to circumstances. In Charm. 154 B, *ἐν τῇ ἡλικίᾳ* is applied to boys who are old enough and not too old to have lovers, and so means 'in early youth,' as it does here. But *πόρρω τῆς ἡλικίας* does not necessarily mean "ultra juventutem," as Stallb. translates: but rather 'far into life,' as in such phrases as *πόρρω σοφίας ἐλαύνειν* (inf. 486 A), *πόρρω ἤδη ἐστὶ τοῦ βίου* (Apol. 38 C), which is in fact the more idiomatic use of *πόρρω* with the genitive. Comp. Xen. Apol. Soc. 30, *προβήσεσθαι πόρρω μοχθηρίας*: Arist. Vesp. 192, *πονηρὸς εἶ πόρρω τέχνης.*

D. *καὶ γὰρ τῶν νόμων*] The ignorance of pedants like these extends not merely to the laws of their country, and to those principles which enter into all covenants between man and man, or between one country and another; they are equally ignorant of human pleasures and passions; in short, of human character in the aggregate. *τῶν λόγων*, 'the arguments and considerations.' *ὁμιλεῖν* is to be constructed with *τοῖς ἀνθρώποις*, as if he had said, *οἷς δεῖ χρῆσθαι ἐν τῷ ὁμιλεῖν τοῖς ἀνθρ. συμβόλαια* is explained by the Schol., *αἱ ἀσφάλειαι καὶ συγγραφαὶ καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλαις ἔνεμον.*

τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν E
ἔλθωσιν εἰς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν, καταγέλαστοι
γίγνονται, ὥσπερ γε, οἶμαι, οἱ πολιτικοί, ἐπειδὰν αὖ εἰς
τὰς ὑμετέρας διατριβὰς ἔλθωσι καὶ τοὺς λόγους, κατα-
γέλαστοί εἰσι. συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου· λαμ-
πρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ,

E. *ὥσπερ γε, οἶμαι*] 'as I suppose men of the world are when they are admitted to your reunions and the discussions that take place there.' *διατριβή* is either the place in which, or the matter about which *διατρίβει τις*. Of the former we have an example in Charm. 153 A, *ἦλθα ἐπὶ τὰς ξυνήθεις διατριβάς*. 'I was proceeding to my accustomed haunts:' of the latter *passim*. *διατριβαὶ καὶ λόγοι* are found together Apol. 37 C. *διατριβή* is used for 'ludus,' a *school* of rhetoric or philosophy, by Isocr. Panath. 237 A, *τοὺς ἐσχηκότας τῆς ἐμῆς διατριβῆς*. So by later writers in such phrases as *ἡ Πλάτωνος, ἡ Ζήνωνος διατριβή*. A. Gell. xviii. 13, "Sophisma a quodam dialectico ex Platonis diatriba propositum." Ibid. xvii. 20 al.

τὸ τοῦ Εὐριπίδου] These lines, and those which follow presently, are quoted from the Antiopa of Euripides, a drama, which, if we may judge from the number of fragments preserved by Clemens, Stobaeus, and others, was a favourite in the schools. Zethus and Amphion were twins, born to Zeus by the beautiful Antiopa, and whom she was constrained to leave on Mount Cithaeron, under the care of a faithful shepherd. In this seclusion Amphion, to whom Hermes had given the lyre, devoted himself to music and other liberal pursuits, while the ruder Zethus led the life of a shepherd and huntsman. In the animated dialogue, of which these lines form a part, and of which some eighty or ninety survive, each brother extols his own pursuits; Zethus twitting his brother with effeminacy, unbusiness-like habits, &c., while Amphion dilates on the superiority of intelligence to brute force, and similar topics. The three verses in the text are said by the Scholiast to have formed part of the *ῥῆσις* of Zethus: but from their tenour they seem more appropriate to the character of the gentler and more reasonable Amphion, and to him accordingly Hartung gives them (Euripides Restitutus ii. p. 420). However this be, Hartung is probably right in regarding the words *λαμπρός* and *ἕκαστος* as belonging to the text of Euripides: *λαμπρός θ'* (*δ'* Hart.) *ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται*. The second verse is quoted twice by Aristotle, once with a slight variation, unimportant as regards the sense (Rhet. i. 11. 28); the third by Plutarch (Mor. pp. 514 A, and 630 B), whose MSS. in the latter passage give *τυγχάνῃ*, in the former *τυγχάνει*. The reading *τυγχάνῃ* is also that of the MSS. of Plato here and Alc. ii. 146 A, where only one codex gives *τυγχάνει*. This latter is however more legitimate with *ἵνα* in the sense of *ὅπου* or *ἐν ᾧ*, and Buttm., Bekk., and the Zür. Edd. adopt it. Stallb. defends the vulg. *τυγχάνῃ* on the ground that *πρίν, ὅπου, ὅθεν*, and similar adverbs of time or place, are by the tragic poets frequently constructed with the conjunctive alone, in cases where a prose author would have added *ἄν*. He appeals to two well-known notes of Porson, on Med. 222 and Orest. 141, where however there is no mention of *ἵνα*. Some colour is lent to his opinion by the succeeding *ὅπου δ' ἄν*, and Ast accordingly approves, though he had given *τυγχάνει* in his text. I have never seen an instance of *ἵνα* in its local sense with the conj., and the ambiguity which would arise from such use, between the final and topical use of the particle, may have caused it to be exempted from the licence taken in the case of *ὅπου*, &c. Probably, for a similar reason, *ἵν' ἄν* is never used in a final sense, as *ὡς ἄν* and *ὅπως ἄν* frequently are. I have therefore not hesitated to retain Bekker's *τυγχάνει*, and the less so as the confusion of *ει* and *η* or *ηι* is of perpetual occurrence in ordinary MSS. In the degenerate pronunciation of later times, *η, ει, οι, ι, υ* had all precisely the same sound, as they have in modern Greece at the present day, the sound namely of our long *e* or of the Italian *i*. This confusion is well known to scholars by the term 'itacism,' and has naturally been the

καὶ τοῦτ' ἐπείγεται,
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.

485 | ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο, τὸ δ' ἕτερον ἐπαινεῖ, εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ', οἶμαι, τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων μετασχεῖν. φιλοσοφίας μέν, ὅσον παιδείας χάριν, καλὸν μετέχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα γίγνε-
B ται, καὶ ἔγωγε ὁμοιότατον πάσχω πρὸς τοὺς φιλοσοφοῦντας ὥσπερ πρὸς τοὺς ψελλιζομένους καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω ψελλιζόμενον καὶ παῖζον, χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ· ὅταν δὲ σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀκούσῃ τις
C ψελλιζομένου ἢ παίζοντα ὁρᾷ, καταγέλαστον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας. παρὰ νέῳ μὲν γὰρ

cause of much vicious orthography in the MSS. The general sense of the passage is this: 'every man will most distinguish himself in those pursuits for which he has a natural turn: to these he will apply himself with the greatest zeal and assiduity.'

λαμπρός] 'eminent,' 'shining,' as Eur. Supp. 902, οὐκ ἐν λόγοις ἦν λαμπρός, ἀλλ' ἐν ἀσπίδι Δεινὸς σοφιστής.

ἵν'—βέλτιστος ὤν] 'in which he is at his best,' or, 'in which his forte lies.' The idiom is sufficiently common, and is illustrated in all the grammars.

485. φιλοσοφίας μέν] 'It is good, I know, to have just such a tincture of philosophy as may serve the ends of a liberal training, and it is therefore no discredit to a mere lad to philosophize.' This comparative liberality is more in harmony with the notions prevalent in the fourth than in the fifth century, B.C. Aristophanes at least makes no such concessions. Isocrates, on the other hand, though he had no head for abstruse philosophy, and indeed thoroughly hated it, acknowledges very freely its educational uses. After informing us that mathematics and such-like sciences are of no value whatever to those who profess them, except as a means of getting their bread, he admits that they are exceedingly valuable to the pupils of such persons: τοὺς δὲ μανθάνοντας ὀνίνησι· περὶ γὰρ τὴν περιττολογίαν καὶ τὴν ἀκρίβειαν τῆς ἀστρολογίας καὶ γεωμετρίας διατρίβοντες, καὶ δυσκαταμαθήτοις πράγμασιν ἀναγκαζόμενοι προσέχειν τὸν νοῦν, ἔτι δὲ συνεθιζόμενοι λέγειν καὶ πονεῖν ἐπὶ τοῖς λεγομένοις καὶ δεικνυμένοις, καὶ μὴ πεπλανημένην ἔχειν τὴν διάνοιαν, ἐν τούτοις γυμνασθέντες καὶ παροξυνθέντες ῥᾷον καὶ θᾶττον τὰ σπουδαιότερα καὶ πλέονος ἄξια τῶν πραγμάτων ἀποδέχεσθαι καὶ μανθάνειν δύνανται (Antid. 3, § 283, Bkk.). We seem to hear some modern apologist for "University studies."

*μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι, καὶ πρέπειν μοι δο-
κεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρω-
πον, τὸν δὲ μὴ φιλοσοφοῦντα ἀνελεύθερον καὶ οὐδέποτε
οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγ-
ματος· ὅταν δὲ δὴ πρεσβύτερον ἴδω ἔτι φιλοσοφοῦντα* D
*καὶ μὴ ἀπαλλαττόμενον, πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι,
ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρ-
χει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ
γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς,
ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι,
καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων
ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ
μέγα καὶ ἱκανὸν μηδέποτε φθέγξασθαι.* E

XLI. *Ἐγὼ δέ, ὦ Σώκρατες, πρὸς σὲ ἐπιεικῶς ἔχω
φιλικῶς. κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος
πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην. καὶ γὰρ
ἐμοὶ τοιαῦτ᾽ ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν οἷάπερ ἐκεῖνος
πρὸς τὸν ἀδελφόν, ὅτι ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε
ἐπιμελεῖσθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει
τινὶ διαπρέπεις μορφώματι, | καὶ οὔτ᾽ ἂν δίκης βουλαῖσι* 486
προθεῖ᾽ ἂν ὀρθῶς λόγον, οὔτ᾽ εἰκὸς ἂν καὶ πιθανὸν λάβοις,

E. *ἀμελεῖς, ὦ Σώκρατες*] Critics cannot be said to have succeeded in integrating the text of Euripides satisfactorily. Nauck gives the following:—

> . . . . *ἀμελεῖς ὧν* [*σε φροντίζειν ἐχρῆν*]
> *ψυχῆς* [*ἔχων γὰρ*] *ὧδε γενναίαν φύσιν*
> [*γυναικομίμῳ*] *διαπρέπεις μορφώματι*
> . . . . *κοὔτ᾽ ἂν ἀσπίδος κύτει*
> [*ὀρθῶς*] *ὁμιλησείας, οὔτ᾽ ἄλλων ὕπερ*
> *νεανικὸν βούλευμα βουλεύσαιό* [*τι*].
> (Frag. Eur. 185.)

Of these the second line is poor, though not unmetrical, as Valckenaer's: *Αἰσχρῶς τε ψυχῆς ὧδε γενναία φύσις.* The first may probably have begun with the voc. *Ἀμφιον.* Nauck's *φροντίζειν* is perhaps better than the more prosaic *ὧν ἐπιμελεῖσθαί σε δεῖ* of other edd., nor is it unlike Plato to change a word in a quotation. For *γυναικομίμῳ* we have the authority of Philostratus: *γυναικομίμῳ δὲ μορφώματι κατὰ τὸν Εὐριπίδην αἰσχρῶς διαπρέπον* (Vit. Apoll. iv. 160). Olymp. by a slip of memory, aided by ignorance of metre, says that Euripides wrote *γυναικώδει.* He adds, *καὶ οὔτ᾽ ἂν δίκαις* (sic) *βουλαῖσι: ὁ Εὐριπ. εἶπε 'καὶ οὔτ᾽ ἂν ἀσπίδος κύτει προσομιλήσεις.'* We are not therefore to force the former words into the text, as Hartung and former critics have done; reading, *οὔτ᾽ ἐν δίκης βουλαῖσιν ὀρθῶς ἂν λόγον Προθεῖο πιθανόν.* The vicious pause condemns the former line: we must therefore presume that Callicles paraphrases Euripides here, as subsequently he puts *πραγμάτων* for *πολεμίων.* It is difficult to account for the apparent construction of *φύσιν* with *διαπρέπειν* in Plato's text, but it appears from the passage of Philostr. that Euripides did not intend his words to be so taken, and that *φύσιν* depends on some participle, *ἔχων, τρέφων, βλαστών* or the like, which Callicles or the copyists have omitted.

οὔθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο. καίτοι, ὦ φίλε Σώκρατες—καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ—οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν ὡς ἐγὼ σὲ οἶμαι ἔχειν καὶ τοὺς ἄλλους τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας; νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, B φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ' ὅτι οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ, ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι εἴποις, καὶ εἰς τὸ δικαστήριον ἀναβάς, κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ, ἀποθάνοις ἄν, εἰ βούλοιτο θανάτου σοι τιμᾶσθαι. καίτοι πῶς σοφὸν τοῦτό ἐστιν, ὦ Σώκρατες, εἴ τις εὐφυᾶ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε C ἄλλον μηδένα, ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶσαν τὴν οὐσίαν, ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει; τὸν δὲ τοιοῦτον, εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην. ἀλλ' ὦ 'γαθέ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν

486. πόρρω ἀεὶ — ἐλαύνοντας] The phrase recurs in Crat. 410 E; Euthyph. 4; Plut. de Invid. 538 A (εἰς ἔσχατον πονηρίας ἐληλακότας). Comp. Euthyd. 294 E, πόρρω σοφίας ἥκεις, and tr., 'who are never satisfied with the progress they have made in philosophy,' but wade deeper and deeper into its mysteries.

B. κατηγόρου τυχὼν πάνυ φαύλου] Alluding probably to Melitus. See Apol. 36 A. B. Anytus, though μοχθηρός, would not have been called φαῦλος.

θανάτου—τιμᾶσθαι] Apol. 36 B, τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. The formula is well known.

καίτοι πῶς σοφόν] We have here at least two lines from the drama: καὶ πῶς σοφὸν τοῦτ' ἔστιν, εἴ τις εὐφυᾶ Λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα. Some add a third: μήτ' αὐτὸν αὑτῷ δυνάμενον [προσαρκέσαι]. With Bekk. I have given εὐφυᾶ, as the Attic form, for εὐφυῆ, which is found in the Bodl. and several other MSS.

C. ἀτεχνῶς δὲ ἄτιμον] In a state of virtual ἀτιμία or disfranchisement: 'to all intents and purposes an outcast.'

ἐπὶ κόρρης] The blow upon the face with the open hand, opposed to κονδύλοις, Dem. Mid. p. 537. See infra on p. 527, note.

ἀλλ' ὦ 'γαθέ, ἐμοὶ πείθου] Here Stob. and Olymp. together enable us to restore the text of Euripides with tolerable confidence. Read with Nauck—

.... ἀλλ' ἐμοὶ πιθοῦ·
παῦσαι [μελφδῶν ?] πολεμίων δ' εὐμουσίαν
ἄσκει· τοιαῦτ' ἀείδε καὶ δόξεις φρονεῖν·
σκάπτων, ἀρῶν γῆν, ποιμνίοις [-ων, Stob.] ἐπιστατῶν,
ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα,
ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.

Nauck gets his μελφδῶν, whether fairly or not, from Arist. Av. 1382, and Com. inc. ap. Mein. iv. p. 659. Olymp. tells us that πολέμων, not πραγμάτων, was in the original, meaning evidently πολεμίων (Hesych. πολεμίων· πολεμικῶν). For τοιαῦτ' ἄειδε καί Hartung proposes τοιαῦτ' ἄειδ' ὄθεν δ. φρ. as nearer to Plato's text. But καί is found in Stob.,

ἄσκει, καὶ ἄσκει ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφείς, εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας, ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις· ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα, ἀλλ' οἷς ἔστι καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά. D

XLII. ΣΩ. Εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχήν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με ἄσμενον εὑρεῖν τούτων τινὰ τῶν λίθων ᾗ βασανίζουσι τὸν χρυσόν, τὴν ἀρίστην, πρὸς ἥντινα ἔμελλον προσαγαγὼν αὐτήν, εἰ μοι ὁμολογήσειεν ἐκείνη καλῶς τεθεραπεῦσθαι τὴν ψυχήν, εὖ εἴσεσθαι ὅτι ἱκανῶς ἔχω καὶ οὐδέν μοι δεῖ ἄλλης βασάνου;

ΚΑΛ. Πρὸς τί δὴ τοῦτ' ἐρωτᾷς, ὦ Σώκρατες; E

ΣΩ. Ἐγώ σοι ἐρῶ νῦν. οἶμαι ἐγὼ σοὶ ἐντετυχηκὼς τοιούτῳ ἑρμαίῳ ἐντετυχηκέναι.

ΚΑΛ. Τί δή;

ΣΩ. Εὖ οἶδ' ὅτι ἄν μοι σὺ ὁμολογήσῃς περὶ ὧν ἡ ἐμὴ ψυχὴ δοξάζει, ταῦτ' ἤδη ἐστὶν αὐτὰ τἀληθῆ. ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς περὶ 487
ὀρθῶς τε ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντα ἔχεις, ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παῤῥησίαν. ἐγὼ γὰρ πολλοῖς ἐντυγχάνω οἳ ἐμὲ οὐχ οἷοί τε εἰσὶ βασανίζειν διὰ τὸ μὴ σοφοὶ εἶναι ὥσπερ σύ· ἕτεροι δὲ σοφοὶ μέν εἰσιν, οὐκ ἐθέλουσι δέ μοι λέγειν τὴν ἀλήθειαν διὰ τὸ μὴ κήδεσθαί μου ὥσπερ σύ· τὼ δὲ ξένω τώδε, Γοργίας τε καὶ

who quotes from τοιαῦτ' to σοφίσματα (Anthol. 56. 13). Those who would know all that is to be learnt of the Antiope, and a little more, are referred to Hartung's Euripides Restitutus ii. 415.

D. Εἰ χρυσῆν ἔχων] Arist. Rhet. Quatuorv. 174. 15, εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχήν, οὐκ ἂν αὐτῷ καλλίω βάσανον προσήνεγκεν: where the Schol., ἀντιφιλοτιμεῖται τοῖς παραδείγμασι τοῦ Πλάτωνος· ὁ γὰρ Πλάτων τοὺς ἀγαθοὺς χρυσᾶς ἔχειν λέγει τὰς ψυχάς. The καλλίω of Arist. illustrates τὴν ἀρίστην in the text.

E. Εὖ οἶδ' ὅτι] 'Sure I am that if I get you to assent to any opinions of which my judgment approves, such opinions may pass henceforth as absolutely true. For I remark that before any one can adequately try a human soul as to its right or wrong living, he requires some three qualifications, all of which exist in you—knowledge, goodwill, and moral courage.' For τρία ἄρα I should propose τρί' ἅττα. Ἅττα is very commonly used with numerals, and the force of ἄρα is but slight in the present context. The interpreters give "tria potissimum," a rendering which answers to ἅττα, but not to ἄρα. Rep. iv. 445 C, τέτταρα δ' ἐν αὐτοῖς ἅττα ὄντ καὶ ἄξιον ἐπιμνησθῆναι; ib. iii. 400 A, ὅτι μὲν γὰρ τρί' ἅττα ἐστὶν εἴδη . . . τεθεαμένος ἂν εἴποιμι. So in Arist. Eth. N. x. 10. 9, for the unmeaning αὐτά the context suggests ἅττα.

B Πῶλος, σοφῷ μὲν καὶ φίλῳ ἐστὸν ἐμώ, ἐνδεεστέρῳ δὲ παῤῥησίας καὶ αἰσχυντηροτέρῳ μᾶλλον τοῦ δέοντος· πῶς γὰρ οὔ; ὥ γε εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥστε διὰ τὸ αἰσχύνεσθαι τολμᾷ ἑκάτερος αὐτῶν αὐτὸς αὐτῷ ἐναντία λέγειν ἐναντίον πολλῶν ἀνθρώπων, καὶ ταῦτα περὶ τῶν μεγίστων. σὺ δὲ ταῦτα πάντα ἔχεις ἃ οἱ ἄλλοι οὐκ ἔχουσι· πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθηναίων, καὶ ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι; ἐγώ
C σοι ἐρῶ. οἶδα ὑμᾶς ἐγώ, ὦ Καλλίκλεις, τέτταρας ὄντας κοινωνοὺς γεγονότας σοφίας, σέ τε καὶ Τίσανδρον τὸν Ἀφιδναῖον καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος καὶ Ναυσικύδην τὸν Χολαργέα. καί ποτε ὑμῶν ἐγὼ ἐπήκουσα βουλευομένων μέχρι ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδ' ὅτι ἐνίκα ἐν ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν ἀκρίβειαν φιλοσοφεῖν, ἀλλὰ εὐλαβεῖσθαι παρεκελεύεσθε
D ἀλλήλοις ὅπως μὴ πέρα τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσετε διαφθαρέντες. ἐπειδὴ οὖν σου ἀκούω ταῦτα ἐμοὶ

B. αἰσχυντηροτέρῳ μᾶλλον τοῦ δέοντος] So presently (D), πέρα τοῦ δέοντος σοφώτεροι.

C. Ἄνδρωνα τὸν Ἀνδροτίωνος] He is named among the σοφοί assembled in the house of Callias, Protag. 315 C. Of Tisander nothing seems to be known. The deme of Nausicydes was not Χολαργεύς, as the Schol. gives it, but Χολαργεῖς. He may have been the same person as the Nausicydes mentioned Xen. Mem. ii. 7. 6, and Aristoph. Eccles. 426, as a wealthy meal-merchant (ἀλφιτοπώλης, ἀλφιτοποιός).

ἐπήκουσα] So the Bodl. and Bekk. Vulg. ὑπήκουσα, which Heind., strange to say, prefers. The confusion is of common occurrence in MSS. Thus in Arist. Nub. 263, εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ἐπακούειν, the old reading, corrected from the Ravenna, was ὑπακούειν. Ib. Vesp. 318, φίλοι, τήκομαι μὲν πάλαι, διὰ τῆς ὀπῆς Ὑμῶν ὑπακούων (Meineke, ἐπακούων). ἐπακούειν is 'to lend an ear,' 'to listen,' 'to attend to,' ὑπακούειν, 'to answer to a call,' 'to obey:' the former always takes the genitive, the latter generally the dative. In Theaet. 162 D, we have, τῆς δημηγορίας δξέως ὑπακούεις καὶ πείθει, no MS. giving ἐπακούεις, which seems however preferable, if only to avoid tautology. Ib. 255, Ἄθρει δὴ περισκοπῶν, ἵνα μή τις τῶν ἀμυήτων ἐπακούῃ, the MSS. are unanimous, yet Heind. says, "Malin ὑπακούῃ," adducing the present passage. Comp. however Arist. Thesm. 627, σὺ δ' ἀποστῆθί μοι, Ἵνα μὴ 'πακούσῃς (sc. ἐπακούσῃς) ὢν ἀνήρ, where, as in Theaet. l. l. the word implies 'to hear as a bystander who has no right there—to overhear' (nearly as παρακούειν, Euthyd. 300 D, ὁ δέ, ἅτε πανοῦργος ὤν, . . αὐτὰ ταῦτα παρακηκόει). Add to these exx. Xen. Anab. vii. 1. 14, ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα, i. e. from Anaxibius, whose words were intended for the *officers*.

μέχρι ὅποι] So Xen. H. G. iv. 7. 5, μέχρι μὲν ποῖ πρὸς τὸ τεῖχος ἤγαγεν ὁ Ἀγησίλαος, μέχρι δὲ ποῖ τὴν χώραν ἐδήωσεν. Hirschig gives the commoner μέχρι ὅπου, on no MSS. authority.

εὐλαβεῖσθαι—διαφθαρέντες] 'to take heed lest if you become wise overmuch (over-educated) you be spoilt ere you are aware,' i. e. or, as we should say, 'lest you find, when too late, that you are quite unfitted for practical life.' So 484 C, ἐὰν δὲ περαιτέρω ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. It was in this sense that Socr. was said by his accusers διαφθείρειν τοὺς νέους.

συμβουλεύοντος, ἅπερ τοῖς σεαυτοῦ ἑταιροτάτοις, ἱκανόν μοι τεκμήριόν ἐστιν ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ. καὶ μὴν ὅτι γε οἷος παῤῥησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τε φὴς καὶ ὁ λόγος ὃν ὀλίγον πρότερον ἔλεγες ὁμολογεῖ σοι. ἔχει δὴ οὑτωσὶ δῆλον ὅτι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς λόγοις ὁμολογήσῃς μοι, βεβασανισμένον τοῦτ' ἤδη E ἔσται ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ, καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ' ἄλλην βάσανον ἀναφέρειν. οὐ γὰρ ἄν ποτε αὐτὸ συνεχώρησας σὺ οὔτε σοφίας ἐνδείᾳ οὔτ' αἰσχύνης περισυσίᾳ· οὐδ' αὖ ἀπατῶν ἐμὲ συγχωρήσαις ἄν· φίλος γάρ μοι εἶ, ὡς καὶ αὐτὸς φὴς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ σὴ ὁμολογία τέλος ἤδη ἕξει τῆς ἀληθείας. πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις, ὦ Καλλίκλεις, περὶ τούτων ὧν σὺ δή μοι ἐπετίμησας, ποιόν τινα χρὴ εἶναι τὸν ἄνδρα καὶ τί ἐπιτηδεύειν καὶ | μέχρι τοῦ, καὶ πρεσβύτερον καὶ νεώτερον 488
ὄντα. ἐγὼ γὰρ εἴ τι μὴ ὀρθῶς πράττῳ κατὰ τὸν βίον τὸν ἐμαυτοῦ, εὖ ἴσθι τοῦτο ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ τῇ ἐμῇ. σὺ οὖν, ὥσπερ ἤρξω νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ' ἱκανῶς μοι ἔνδειξαι τί ἔστι τοῦτο ὃ ἐπιτηδευτέον μοι, καὶ τίνα τρόπον κτησαίμην ἂν αὐτό. καὶ ἐάν με λάβῃς νῦν μέν σοι ὁμολογήσαντα, ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταῦτα πράττοντα ἅπερ ὡμολόγησα, πάνυ με ἡγοῦ βλᾶκα εἶναι καὶ μηκέτι ποτέ με νουθετήσῃς ὕστερον, B
ὡς μηδενὸς ἄξιον ὄντα. ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε, πῶς

D. ἔχει δὴ οὑτωσὶ δῆλον ὅτι] 'The case then evidently stands for the present thus:' δῆλον ὅτι being adverbial, as inf. 490 E, ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν.

E. τῷ ὄντι οὖν] 'Thus, without exaggeration, our agreement will result in the perfect truth:' i. e. any proposition upon which you and I shall agree, is sure to be thoroughly true. τῷ ὄντι, like ἀτεχνῶς, is used by way of apology for a seemingly hyperbolical statement.

488. ἐάν με λάβῃς] If you gain my assent now, and then in time to come find that I fail to practise what I have agreed to, account me a very dolt, an imbecile, and never waste advice upon me again. βλάξ implies feebleness both of mind and character. Thus in Xen. Eq. 9. 12, βλὰξ ἵππος is opposed to θυμοειδής. Olympiod. in l., τὸ βλὰξ ὄνομα γέγονεν ἀπὸ τοῦ μαλακοῦ. For the interchange of μ and β compare Buttm. Lexil. No. 108; Donaldson, N. Crat. § 218. Also Curtius, Gr. Etym. pp. 292, 297, 471.

B. ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε] After a long rhetorical interlude, Socr. resumes his dialectical weapons, and makes a formal attack upon the position taken up by Callicles, sup. p. 484 A. The elenchus is thus managed. The more powerful, the better, and the stronger, mean, according to Callicles, all the same thing. But the Many are more powerful than the One. Hence the laws and maxims of the Many are those of the more powerful, and therefore of the

φὴς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν; ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων καὶ ἄρχειν τὸν βελτίω τῶν χειρόνων καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου; μή τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι, ἢ ὀρθῶς μέμνημαι;

XLIII. ΚΑΛ. Ἀλλὰ ταῦτα ἔλεγον καὶ τότε, καὶ νῦν λέγω.

ΣΩ. Πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ C κρείττω; οὐδὲ γάρ τοι τότε οἷός τ' ἦ μαθεῖν σου τί ποτε λέγεις. πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς καὶ δεῖ ἀκροᾶσθαι τοῦ ἰσχυροτέρου τοὺς ἀσθενεστέρους, οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι ὡς αἱ μεγάλαι πόλεις ἐπὶ τὰς σμικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται, ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι, ὡς τὸ κρεῖττον καὶ ἰσχυρότερον καὶ βέλτιον ταὐτὸν ὄν, ἢ ἔστι βελτίω μὲν εἶναι, ἥττω δὲ καὶ ἀσθενέστερον, καὶ κρείττω μὲν εἶναι, μοχθη- D ρότερον δέ· ἢ ὁ αὐτὸς ὅρος ἐστὶ τοῦ βελτίονος καὶ τοῦ κρείττονος; τοῦτό μοι αὐτὸ σαφῶς διόρισον, ταὐτὸν ἢ ἕτερόν ἐστι τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον;

ΚΑΛ. Ἀλλ' ἐγώ σοι σαφῶς λέγω ὅτι ταὐτόν ἐστιν.

ΣΩ. Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους εἰσὶ κατὰ φύσιν; οἳ δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ τῷ ἑνί, ὥσπερ καὶ σὺ ἄρτι ἔλεγες.

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὰ τῶν πολλῶν ἄρα νόμιμα τὰ τῶν κρειττόνων ἐστίν.

ΚΑΛ. Πάνυ γε.

better. By the premisses, therefore, these maxims are by nature beautiful. But it is the opinion of the Many, as indeed Callicles had himself insisted, that equality is just, and also that to do injustice is 'uglier' than to suffer it. These maxims are therefore 'beautiful by nature,' and not by law or convention only, and law and nature are not contrary the one to the other, as Callicles had maintained; nor had Socr. been guilty of sophistry in ignoring the distinction. A similar dialectical artifice is in the Theaetetus employed against a paradox of Protagoras (Theaet. p. 170).

καὶ σὺ καὶ Πίνδαρος] Above, 484 B.

C. ἀκροᾶσθαι] Used, as more frequently ἀκούειν, in the sense of ὑπακούειν, obedire.

D. ἐπὶ τῷ ἑνί] As a check upon the one. So Legg. 853 C, quoted by Heind., τούτων ἀποτροπῆς τε ἕνεκα καὶ γενομένων κολάσεως τιθέναι ἐπ' αὐτοῖς νόμους.

πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι εἰπέ, τίνας λέγεις τοὺς βελτίους εἶναι;

ΚΑΛ. Τοὺς ἀμείνους ἔγωγε.

ΣΩ. Ὁρᾷς ἄρα ὅτι σὺ αὐτὸς ὀνόματα λέγεις, δηλοῖς δὲ οὐδέν. οὐκ ἐρεῖς, τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέρους λέγεις ἢ ἄλλους τινάς;

ΚΑΛ. Ἀλλὰ ναὶ μὰ Δία τούτους λέγω, καὶ σφόδρα γε.

ΣΩ. Πολλάκις ἄρα εἷς φρονῶν μυρίων | μὴ φρονούν- 490
των κρείττων ἐστὶ κατὰ τὸν σὸν λόγον, καὶ τοῦτον ἄρχειν δεῖ, τοὺς δ' ἄρχεσθαι, καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων. τοῦτο γάρ μοι δοκεῖς βούλεσθαι λέγειν—καὶ οὐ ῥήματα θηρεύω—, εἰ ὁ εἷς τῶν μυρίων κρείττων.

ΚΑΛ. Ἀλλὰ ταῦτ' ἔστιν ἃ λέγω. τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαιον εἶναι φύσει, τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ πλέον ἔχειν τῶν φαυλοτέρων. B

XLV. ΣΩ. Ἔχε δὴ αὐτοῦ. τί ποτε αὖ νῦν λέγεις; ἐὰν ἐν τῷ αὐτῷ ὦμεν, ὥσπερ νῦν, πολλοὶ ἀθρόοι ἄνθρωποι, καὶ ἡμῖν ᾖ ἐν κοινῷ πολλὰ σιτία καὶ ποτά, ὦμεν δὲ παντοδαποί, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, εἷς δὲ ἡμῶν ᾖ φρονιμώτερος περὶ ταῦτα ἰατρὸς ὤν, ᾖ δέ, οἷον εἰκός, τῶν μὲν ἰσχυρότερος, τῶν δὲ ἀσθενέστερος, ἄλλο τι οὗτος φρονιμώτερος ἡμῶν ὢν βελτίων καὶ κρείττων ἔσται εἰς ταῦτα;

ΚΑΛ. Πάνυ γε.

aut, si ea omittitur, formula referri debet vel ad praecedentem aliquam interrogationem cum negatione conjunctam, vel ad sententiam subsequentem, quae aut particulam adversantem habeat, aut negandi vi praedita sit." But the usage in Alcib. i. 109 D is exactly in point: *σκώπτεις, ὦ Σώκρατες—Μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν ἐγὼ ἥκιστ' ἂν ἐπιορκήσαιμι· ἀλλ' εἴπερ ἔχεις, εἰπέ, τίς ἔστι;* The following passage would fall under Stallb.'s rule: Phileb. 36 A, *πότερον ἀλγοῦνθ' ὅλως ἢ χαίροντα;—Μὰ Δί', ἀλλὰ διπλῇ τινι λύπῃ λυπούμενον.* But that in the Alcibiades would need alteration as well as the present. It is to be observed that Hermogenes quotes from memory, as appears from his substituting *τὸν Ζῆνα* for *τὸν Ζῆθον* (Rhet. Gr. ed. Walz. iii. p. 425; Aldus, p. 155).

490. *Ἀλλὰ ταῦτ' ἔστιν ἃ λέγω*] Callicles, seeing the absurdity of making physical strength the criterion of justice, declares that he meant by 'the stronger' the better and wiser. It is these who, according to natural justice, ought to govern and 'have more' than their inferiors. The analogies which Socr. suggests, go to prove that the wise man is entitled to more power, but not to a larger share of property than his inferiors. On this principle the ruling body in the Republic is constituted. The instances adduced are taken as usual from common life, and are not the less apposite for their studied grotesqueness.

B. *ἄλλο τι οὗτος*] I have followed Bekk. in omitting *ἤ*, which the codd. insert after *τί*.

C ΣΩ. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐτῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ νέμειν, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον ἑκτέον· ἐὰν δὲ τύχῃ πάντων ἀσθενέστατος ὤν, πάντων ἐλάχιστον τῷ βελτίστῳ, ὦ Καλλίκλεις; οὐχ οὕτως, ὦ 'γαθέ;

ΚΑΛ. [Περὶ] Σιτία λέγεις καὶ ποτὰ καὶ ἰατροὺς καὶ D φλυαρίας· ἐγὼ δὲ οὐ ταῦτα λέγω.

ΣΩ. Πότερον οὖν τὸν φρονιμώτερον βελτίω λέγεις; Φάθι ἢ μή.

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν;

ΚΑΛ. Οὐ σιτίων γε οὐδὲ ποτῶν.

ΣΩ. Μανθάνω, ἀλλ' ἴσως ἱματίων, καὶ δεῖ τὸν ὑφαντικώτατον μέγιστον ἱμάτιον ἔχειν καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεχόμενον περιιέναι.

ΚΑΛ. Ποίων ἱματίων;

ΣΩ. Ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν E τὸν φρονιμώτατον εἰς ταῦτα καὶ βέλτιστον. τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑποδήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν.

ΚΑΛ. Ποῖα ὑποδήματα φλυαρεῖς ἔχων;

D. [Περὶ] Σιτία λέγεις. The preposition is interpolated. Plato would have written περὶ σιτίων λέγεις. I have therefore followed Hirschig in bracketing it. So 491 A, for περὶ τίνων ὁ κρείττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ; it is clear that Plato wrote τίνων . . . πλέον ἔχων, i. e. if not ἱματίων or ὑποδημάτων. In this latter instance we must have had περὶ τίνα, 'in regard of what?' In one cod. α is written over ων, and Heind. remarks, "Rarius loquendi hoc genus πλεονεκτεῖν περί τινος pro περί τι; cujus exemplum non est in promptu." In both cases the preposition mars the idiom of the language; and in the second instance it seems to have come down from the preceding line. Of an interpolated περί I see an instance also in Theaet. 179 E, καὶ γάρ, ὦ Σώκρατες, [περὶ] τούτων τῶν Ἡρακλειτείων, ἢ ὥσπερ σὺ λέγεις Ὁμηρείων, καὶ ἔτι παλαιοτέρων, αὐτοῖς μὲν τοῖς περὶ τὴν Ἔφεσον, ὅσοι προσποιοῦνται ἔμπειροι εἶναι, οὐδὲν μᾶλλον οἷόν τε διαλεχθῆναι ἢ τοῖς οἰστρῶσιν: "Of these Heracleiteans, &c., those at head-quarters (αὐτοῖς) who live at or near Ephesus," as distinguished, for example, from the Heracleiteans at Athens. This seems better than the awkward rendering, "quod attinet ad," or even, as it seems to me, than the more ingenious supposition that Ἡρακλειτείων is the epithet of δογμάτων understood, not of ἀνδρῶν, as the words Ἡρακλείτου ἑταῖροι occurring a few lines before would lead us to suppose. A clear instance, noted by the comm., occurs ibid. 181 D: τὴν μὲν ἀλλοίωσιν, τὴν δὲ [περὶ] φοράν.

E. Ποῖα ὑποδήματα φλυαρεῖς ἔχων] 'What shoes are you prating about?'

ΣΩ. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις, ἴσως τὰ τοιάδε· οἷον γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν, τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὑτοῦ γῆν.

ΚΑΛ. Ὡς ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκρατες.

ΣΩ. Οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν.

ΚΑΛ. Νὴ | τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ 491
κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει, ὥσπερ περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον.

ΣΩ. Οὐκοῦν σὺ ἐρεῖς [περὶ] τίνων ὁ κρείττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ; ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξει οὔτ' αὐτὸς ἐρεῖς;

ΚΑΛ. Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω. πρῶτον μὲν τοὺς κρείττους οἵ εἰσιν, οὐ σκυτοτόμους λέγω οὐδὲ μαγείρους, B
ἀλλ' οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν, ὄντινα ἂν τρόπον εὖ οἰκοῖτο, καὶ μὴ μόνον φρόνιμοι, ἀλλὰ καὶ ἀνδρεῖοι, ἱκανοὶ ὄντες ἃ ἂν νοήσωσιν ἐπιτελεῖν, καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς.

XLVI. ΣΩ. Ὁρᾷς, ὦ βέλτιστε Καλλίκλεις, ὡς οὐ

Comp. Phaedr. 236 E, *τί δῆτα ἔχων στρέφει;* Ar. Eccl. 1151, *τί δῆτα διατρίβεις ἔχων;* Such phrases as *ληρεῖς ἔχων, φλυαρεῖς ἔχων* are common in Plato and Aristophanes. The force of *ποῖος* in such cases is familiar.

ἀλλὰ καὶ περὶ τῶν αὐτῶν] See a similar retort in Xen. Mem. iv. 4. 6, *καὶ ὁ Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτόν, Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης, Ὅ δέ γε τούτου δεινότερον, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις.* Callicles here affects not to see the point of the remark, which is really lost upon Hippias (l. c.), who answers in apparent good faith, *Ἀμέλει, πειρῶμαι καινόν τι λέγειν ἀεί.* Alcibiades shows greater intelligence: Symp. 221 E, *ὕνους κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν ταὐτὰ φαίνεται λέγειν, ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε, κ.τ.λ.*

491. *ἀτεχνῶς γε ἀεί*] 'You literally never cease from talking,' &c., = it is no exaggeration to say that these topics are always in your mouth, to the exclusion of others. It is difficult to understand Schleierm.'s preference for the *ἀτέχνως* of the Bodl. The idiomatic use of *ἀτεχνῶς*, 'actually,' 'literally,' 'without metaphor' or 'exaggeration,' is familiar to all readers of Plato and Aristophanes.

Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω] 'why, I have told you long ago.' On this Stallb. remarks, "Callide se simulat Callicles ea, quae nunc dicturus est, jam antea dixisse, quum tandem longe alia proposuerit." This is unjust to Callicles, who had eloquently maintained the superiority of practical talent over the wisdom of the schools, and had stood up for the right of the abler man (*φύσιν ἱκανὴν ἔχων ἀνήρ*, p. 484) to work his will upon the vulgar herd. The "calliditas" is rather on the part of Socr., who had taken a dialectician's advantage of a rhetorical opponent.

ταὐτὰ σύ τ' ἐμοῦ κατηγορεῖς καὶ ἐγὼ σοῦ; σὺ μὲν γὰρ ἐμὲ φὴς ἀεὶ ταὐτὰ λέγειν, καὶ μέμφει μοι· ἐγὼ δὲ σοῦ τοὐναντίον ὅτι οὐδέποτε ταὐτὰ λέγεις περὶ τῶν αὐτῶν, ἀλλὰ
C τοτὲ μὲν τοὺς βελτίους τε καὶ κρείττους τοὺς ἰσχυροτέρους ὡρίζου, αὖθις δὲ τοὺς φρονιμωτέρους, νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων· ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους. ἀλλ', ὦ 'γαθέ, εἰπὼν ἀπαλλάγηθι τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους καὶ εἰς ὅ τι.

ΚΑΛ. Ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους εἰς τὰ τῆς πόλεως πράγματα καὶ ἀνδρείους. τούτους γὰρ προσ-
D ήκει τῶν πόλεων ἄρχειν, καὶ τὸ δίκαιον τοῦτ' ἐστί, πλέον ἔχειν τούτους τῶν ἄλλων, τοὺς ἄρχοντας τῶν ἀρχομένων.

ΣΩ. Τί δέ; αὐτῶν, ὦ ἑταῖρε;

ΚΑΛ. Πῶς λέγεις;

ΣΩ. Ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχοντα. ἢ τοῦτο μὲν οὐδὲν δεῖ, αὐτὸν ἑαυτοῦ ἄρχειν, τῶν δὲ ἄλλων;

ΚΑΛ. Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις;

ΣΩ. Οὐδὲν ποικίλον, ἀλλ' ὥσπερ οἱ πολλοί, σώφρονα ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ, τῶν ἡδονῶν καὶ ἐπιθυ-
E μιῶν ἄρχοντα τῶν ἐν ἑαυτῷ.

ΚΑΛ. Ὡς ἡδὺς εἶ! τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας.

ΣΩ. Πῶς γάρ; οὐδεὶς ὅστις οὐκ ἂν γνοίη ὅτι οὐ τοῦτο λέγω.

D. Τί δέ; αὐτῶν, ὦ ἑταῖρε] 'Tell me, do you mean rulers of themselves' when you speak of ἄρχοντας? To these words the codd. add variously ἤ τι ἄρχοντας ἢ ἀρχομένους: τί ἤ τι ἄρχοντας ἢ ἀρχομένους: Bodl. ἤ τι ἀρχομένους. All this was expelled from the text by Bekk., who is followed by the Zür. and Hirschig. Some attempts have been made to explain or emend these additional words, which, however in all probability, represent an old gloss upon Socr.'s question. The ἤ τι, perhaps, is a corruption of ἤτοι, 'videlicet,' which, like ἤγουν, is found in this sense in scholiastic Greek. Socr. presently states his meaning to be such as I have represented it; and indeed there is evidently no place for ἀρχομένους. Callicles is not familiar with the phrase αὐτοῦ ἄρχειν, which, nevertheless, Socr. declares to be 'nothing subtle or recondite,' but identical with ἐγκρατὴς ἑαυτοῦ, a phrase of current use in general society.

E. Πῶς γάρ; οὐδεὶς — ὅτι οὐ τοῦτο λέγω] This is the reading of Ast and the Zür. The majority of MSS. have πῶς γὰρ οὔ; words which, to avoid the contradiction, Bekk. gives to Callicles. The οὔ however may be accounted for by the following οὐδείς; and we obtain the following reasonably satisfactory sense: *Call.* 'How droll you are! by your temperate men you mean the weak and

ΚΑΛ. Πάνυ γε σφόδρα, ὦ Σώκρατες. ἐπεὶ πῶς ἂν εὐδαίμων γένοιτο ἄνθρωπος δουλεύων ὁτῳοῦν; ἀλλὰ τοῦτ' ἐστὶ τὸ κατὰ φύσιν καλὸν καὶ δίκαιον, ὃ ἐγώ σοι νῦν παῤῥησιαζόμενος λέγω, ὅτι δεῖ τὸν ὀρθῶς βιωσόμενον τὰς μὲν ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾷν ὡς μεγίστας εἶναι καὶ μὴ κολάζειν, ταύταις δὲ ὡς μεγίσταις οὔσαις ἱκανὸν | εἶναι 492
ὑπηρετεῖν δι' ἀνδρείαν καὶ φρόνησιν καὶ ἀποπιμπλάναι ὧν ἂν ἀεὶ ἡ ἐπιθυμία γίγνηται. ἀλλὰ τοῦτ', οἶμαι, τοῖς πολλοῖς οὐ δυνατόν· ὅθεν ψέγουσι τοὺς τοιούτους δι' αἰσχύνην ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμίαν, καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν, ὅπερ ἐν τοῖς πρόσθεν ἐγὼ ἔλεγον, δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους, καὶ αὐτοὶ οὐ δυνάμενοι ἐκπορίζεσθαι ταῖς ἡδοναῖς πλήρωσιν ἐπαινοῦσι τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην β
διὰ τὴν αὑτῶν ἀνανδρίαν. ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν

simple.' *Socr.* 'How so? every one must know that that is not my meaning.' *Call.* 'Oh! but it is, Socr.; for how can a man possibly be happy so long as he is in bondage—I care not to whom or what;' i. e. whether to himself or to another. For an instance of this rather rare use of *πάνυ γε σφόδρα* (which is commonly a strong affirmation, and not, as here, a contradiction), compare Demosth. de Falsa Legat. p. 395, § 191. Bekk., *οὐ γὰρ ἔγωγ' οὕτως ἦν ἄθλιος ὥστε . . . ταῦτ' οὐκ ἐβουλόμην γίγνεσθαι. καὶ σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι.* A different turn is given to the passage, by the reading found in the Bodl., and at least two others. ΣΩ. *Πῶς γὰρ οὔ; οὐδεὶς ὅστις οὐκ ἂν γνοίη ὅτι οὕτω λέγω.* ΚΑΛ. *Πάνυ γε σφόδρα, κ.τ.λ.* This is adopted by Stallb., who gets over the difficulty of making Socr. identify the temperate with the foolish by the remark, "Quod Socrates urbane concedit, ideoque respondet sic: *Quidni vero? quilibet enim intelligat ita me sentire.*" This "urbanity" I cannot but think misplaced; and therefore, though not without reluctance, have preferred in this instance the vulgate to the Bodleian reading. For the sentiment expressed by Callicles compare the conversation of Socr. with Thrasymachus, Republ. 348 C, *οὐκοῦν τὴν μὲν δικαιοσύνην ἀρετὴν [καλεῖς] τὴν δ' ἀδικίαν κακίαν. Εἰκός γ', ἔφη, ὦ ἥδιστε, ἐπειδὴ καὶ λέγω ἀδικίαν μὲν λυσιτελεῖν, δικαιοσύνην δ' οὔ. Ἀλλὰ τί μήν; Τουναντίον, ἦ δ' ὅς. Ἡ τὴν δικαιοσύνην κακίαν; Οὐκ, ἀλλὰ πάνυ γενναίαν εὐήθειαν.* With which comp. Thuc. iii. 83, *καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη.*

ἐπεὶ πῶς ἄν] Comp. Lysis 207 D, *δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε, καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπιθυμοῖ; Μὰ Δί' οὐκ ἔμοιγε, ἔφη.* Schol., *ἐντεῦθεν ὁ περὶ τῆς τελικῆς αἰτίας τῶν ἠθικῶν λόγος. ἔστι δὲ ἀρχὴ κατὰ μὲν Σωκράτην τἀγαθά, κατὰ δὲ Καλλικλέα αἰσχρὰ ἡδονή.*

492. *ἀποπιμπλάναι ὧν ἂν ἀεὶ ἡ ἐπιθυμία γίγνηται*] 'to glut each successive appetite with its appropriate food.' Of this, says Callicles, the vulgar are incapable: and hence they condemn the abler few, being ashamed of their own incapacity, and wishing to hide it: i. e. they divert attention from their own defects by abusing others.

B. *ἐπεί γε οἷς*] 'Suppose, for instance, a man is a king's son to begin with, or is able by his own natural genius to get himself appointed to a high office, or to make himself a tyrant or member of an absolute government, what were in truth more disgraceful or more injurious than temperance to persons like these: who, instead of taking their fill of good things without let or hindrance, should voluntarily invite the law to be lord over them, with the idle talk and ill-

ἢ βασιλέων υἱέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν, τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον εἴη σωφροσύνης τούτοις τοῖς ἀνθρώποις; οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν καὶ μηδενὸς ἐμποδὼν ὄντος, αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο τὸν τῶν πολλῶν ἀνθρώπων νόμον τε καὶ λόγον καὶ ψόγον; ἢ
C πῶς οὐκ ἂν ἄθλιοι γεγονότες εἴησαν ὑπὸ τοῦ καλοῦ τοῦ τῆς δικαιοσύνης καὶ τῆς σωφροσύνης, μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὑτῶν ἢ τοῖς ἐχθροῖς, καὶ ταῦτα ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει; ἀλλὰ τῇ ἀληθείᾳ, ὦ Σώκρατες, ἣν φὴς σὺ διώκειν, ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν ἔχῃ, τοῦτ' ἐστὶν ἀρετή τε καὶ εὐδαιμονία· τὰ δὲ ἄλλα ταῦτ' ἐστὶ τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν συνθήματα, ἀνθρώπων φλυαρία καὶ οὐδενὸς ἄξια.
D XLVII. ΣΩ. Οὐκ ἀγεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχει τῷ λόγῳ παῤῥησιαζόμενος· σαφῶς γὰρ σὺ νῦν

natured censure of the multitude.' "Cum verbis *νόμον, λόγον, ψόγον*: conf. Agathonis illud Conviv. 197 D, *ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ*" (Ast).

τί—εἴη] The omission of *ἄν* seems justified by Soph. Antig. 604, *τέαν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν ὑπερβασία κατάσχοι;* Aesch. Choeph. 314, *ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι;* yet the cases are not precisely in point—see Ellendt, Lex. Soph. p. 125; and "*ἄν* may have dropt out here, as *τί* itself is wanting in ten MSS., both being absorbed, so to speak, by the two last syllables of *δυναστείαν*" (Woolsey).

οἷς ἐξὸν ἀπολαύειν] For *οἵτινες, ἐξὸν αὐτοῖς ἀπολαύειν*. Compare, for sense as well as construction, Rep. 465 E, *οὐκ οἶδ' ὅτου λόγος ἡμῖν ἐπέπληξεν ὅτι τοὺς φύλακας οὐκ εὐδαίμονας ποιοῖμεν, οἷς ἐξὸν πάντα ἔχειν τὰ τῶν πολιτῶν οὐδὲν ἔχοιεν*. Presently for *εἴησαν* Hirschig gives *εἶεν*, on no authority. The shorter form is preferred by Plato in *εἶμεν, εἶτην, εἶτε*.

C. *ἐὰν ἐπικουρίαν ἔχῃ*] Schol., *ἢ τὴν ἐκ πλούτου καὶ περιουσίας, ἢ τὴν ἐκ τῆς παρὰ τῷ* Καλλικλεῖ *καλουμένης φρονήσεώς τε καὶ ἀνδρίας*. The latter is perhaps the more correct view: sup. A, *ταύταις δ' ὡς μεγίσταις οὔσαις ἱκανὸν εἶναι ὑπηρετεῖν δι' ἀνδρείαν καὶ φρόνησιν*. The end is pleasure, to which valour and prudence are means. In other words, they are the auxiliary forces, the *ἐπίκουροι* of luxury, &c. But he may have meant *ἐὰν τοῖς ἐκτὸς ἀγαθοῖς ἱκανῶς κεχορηγημένον ᾖ* (Arist. Ethic. i. 10. 15).

τὰ δὲ ἄλλα ταῦτ'—ἄξια] Most comm. understand *τὰ καλλωπίσματα* to be the subject of *ἐστί*. 'As for those other matters—the fopperies, the unnatural conventionalities—they are the mere cant of men, and nothing worth.' But I am disposed, with Mr. Shilleto, to make *τὰ καλλ.* the predicate: 'As for those other matters (justice and temperance and their like), they are the mere fopperies, the unnatural conventions of society, the prattle of men,' &c. For the sentiment, compare Eur. Cycl. 317,—

ὁ πλοῦτος, ἀνθρώπισκε, τοῖς σοφοῖς θεός·
τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι·

Ibid. 339,—

οἳ δὲ τοὺς νόμους
ἔθεντο, ποικίλλοντες ἀνθρώπων βίον,
κλαίειν ἄνωγα.

D. *ἐπεξέρχει τῷ λόγῳ*] Legg. ii. 672 A, *ἐπεξέλθοι λέγων* 'explicet oratione.' Socr. applauds the courageous frankness with which his opponent avows sentiments which the majority of mankind

λέγεις ἃ οἱ ἄλλοι διανοοῦνται μέν, λέγειν δὲ οὐκ ἐθέλουσι. δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται πῶς βιωτέον. καί μοι λέγε· τὰς μὲν ἐπιθυμίας φὴς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἀμόθεν γέ ποθεν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι τὴν ἀρετήν; E

ΚΑΛ. Φημὶ ταῦτα ἐγώ.

ΣΩ. Οὐκ ἄρα ὀρθῶς λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι.

ΚΑΛ. Οἱ λίθοι γὰρ ἂν οὕτω γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι εἶεν.

ΣΩ. Ἀλλὰ μὲν δὴ καὶ ὧν γε σὺ λέγεις δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ' ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν;

secretly entertain, but are loth to express.

ἀμόθεν γέ ποθεν] 'from some source or other.' Restored by Bekk. for *ἄλλοθέν γέ ποθεν* found in all the MSS. The confusion is very common, as the forms *ἀμοῦ, ἀμόθεν, ἀμῇ, ἀμῶς* had ceased to exist in the later dialect. See Cobet, Vv. Ll., p. 255, and Schol. in Plat. Sophist. 259 D. In the Attic dialect these words are aspirated.

E. *Οὐκ ἄρα ὀρθῶς λέγονται*] Xen. Mem. i. 6. 10, *Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι, ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου. καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου.* Hence correct Olymp. in Gorg. comm. p. 121 (358 Jahn), *ὁ οὖν πλήρη ἔχων* (sc. *τὸν πίθον*) *θεοῦ βίον ζῇ*, for the corrupt *θεοῦ ὀιζῇ*, by which the editor is baffled.

ὧν γε σὺ λέγεις] Vulg. *ὥς γε σὺ λέγεις*, corr. Badh. This again is a frequent error of copyists. Aesch. Prom. 629, *μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ*. Hermann *ὧν*—which is much better than Elmsley's *μασσόνως ἢ 'μοὶ γλυκύ*. In Lysias vii. § 31, *προθυμότερον ὡς ἠναγκαζόμην*, read *ὧν ἠναγκαζόμην*. The use of *ὡς* for *ἤ* after a comparative is a barbarism, though introduced by Prof. Sauppe into the text of the Epitaphius of Hyperides, Col. 14, l. 22. Here *ὧν γε σὺ λέγεις* is in antithesis to *οἱ λίθοι καὶ οἱ νεκροί*.

τίς δ' οἶδεν, εἰ τὸ ζῆν] This passage appears to have come from the Polyidus; and is thus completed by the Schol.,—

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται.

He is apparently in error when he says, *ἐκ τοῦ Φρίξου τοῦ δράματος* Εὐριπίδου. The lines in the Phrixus ran thus, according to Stobaeus (Anth. 120. 18):—

τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.

The sentiment is parodied by Aristoph. (Ran. 1477). *Τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, Τὸ πνεῖν δὲ δειπνεῖν τὸ δὲ καθεύδειν κώδιον;* From ib. 1082, *καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν*, we may infer that a woman was the speaker in one at least of the Euripidean passages. The idea, though not the precise words, was borrowed from Heraclitus (Philo,

93 καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ὅπερ ἤδη του | ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν

Alleg. Leg. 1, fin.): *μονονοὺ καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωϋσέως ἀκολουθήσας τῷ δόγματί, φησι· Ζῶμεν τὸν ἐκείνων* (sc. *θεῶν*) *θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον· ὡς νῦν μὲν ὅτε ἐνζῶμεν τεθνηκυίας τῆς ψυχῆς, καὶ ὡς ἂν ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης, εἰ δὲ ἀποθάνοιμεν τῆς ψυχῆς ζώσης τὸν ἴδιον βίον.* From which the editors of Heraclitus' fragments infer that the well-known *σῶμα σῆμα* was first said by him. The Heraclitean fragm. is given at greater length by his namesake the author of the Homeric Allegories: *ἄνθρωποι θεοὶ θνητοί, θεοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν* (Ed. Gale, p. 442). A fragment quoted by Sext. Empir. comes nearer still to the words of Euripides: *ὁ δὲ Ἡράκλειτός φησιν ὅτι καὶ τὸ ζῆν καὶ τὸ ἀποθανεῖν καὶ ἐν τῷ ζῆν ἡμᾶς ἐστι καὶ ἐν τῷ τεθνάναι· ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν τὰς ψυχὰς ἡμῶν τεθνάναι καὶ ἐν ἡμῖν τεθάφθαι, ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν:* "Heraclitus says that both living and dying are in our life as well as in our death: when *we* live our souls are dead and are buried in us, when *we* die our souls revive and live" (Pyrrh. Hypot. iii. 230). But closer than all is the citation in Plutarch, Consol. ad Apoll. 106 E, *φησὶν Ἡράκλειτος, ταὐτὸ . . ζῶν καὶ τεθνηκός . . . τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα.* The meaning of this probably is, that life and death are part of one and the same process of continuous growth and decay, according to the principle implied in the formula *διαφερόμενον ἀεὶ ξυμφέρεται* (Plat. Soph. 242 E). It is not however to be supposed that Plato in the present passage refers to Heraclitus. The *σοφός* whom Socr. affects to quote may have been some Orphic or Pythagorizing speculator of his own day, for we know that both Pythagoreans and Orphics held the notion of a penal incarceration of the soul in the body (Plat. Crat. p. 400 B C, compared with Phaedo, 62 B). On the other hand the words *τῆς ψυχῆς τοῦτο* (sc. *μέρος*) *ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσιν* point to the Platonic doctrine of the tripartition of the soul (see Phaedrus, App. i. p. 164), and it might seem that Plato had here committed a conscious anachronism, in attributing the doctrine to some earlier school. Even this would not be inconsistent with the only half-in-earnest tone of the entire passage; for we know how easily the Platonic Socrates could evoke imaginary vouchers for his own views (comp. Phaedr. 275 B, *Ὦ Σώκρατες, ῥᾳδίως σύ, κ.τ.λ.*). Still as the *σοφός* in question appears in company with other undoubtedly real personages, I incline to think that some particular speculatist is intended. The comm. give us no light, but content themselves with accumulating passages from Heraclitus and from Plato, as if the difficulty were not rather to account for the juxtaposition of the dogmas of schools so distinct both in time and character. In suggesting the name of Philolaus, I rest upon the slender data that some rude "partition of the soul is attributed to him on reasonable and good authority" (see Zeller, Phil. der Griechen, i. p. 325, 2te Ausg.). Clemens Alex. quotes a fragment purporting to be his, but which may be only Plato in a Doric dress: *ὡς διά τινας ἁμαρτίας ἁ ψυχὰ τῷ σώματι συνέζευκται, καὶ καθάπερ ἐν σάματι τέθαπται* (Strom. iii. 433 A, ap. Lobeck, Aglaoph. p. 795). A better critic than Clemens, Athenaeus, gives the following important notice, on the authority of Clearchus the Peripatetic: *Εὐξίθεος ὁ Πυθαγόρειος, ὦ Νίκιον, ὥς φησι Κλέαρχος ὁ Περιπατητικὸς ἐν δευτέρῳ Βίων, ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν· καὶ διείπασθαι τὸν θεόν, ὡς εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις, ἕως ἂν ἑκὼν αὐτὸς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις· διὸ πάντας εὐλαβουμένους τὴν τῶν κυρίων ἀνάτασιν φοβεῖσθαι τοῦ ζῆν ἑκόντας ἐκβῆναι, μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον ἀσπασίως προσιέσθαι, πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης,* iv. p. 157 C. Compare Plat. Phaedo, 61 E, where *Philolaus* and 'certain others' are appealed to by Cebes as affirming the unlawfulness of suicide. This evidence in favour of the Pythagorean origin of the speculation in the text seems to me unexceptionable, and we can afford to give up the suspicious fragment of Clemens. Add Cicero de Senect. c. 20, "Vetat *Pythagoras* injussu imperatoris, id est Dei, de praesidio et vitae statione discedere."

ὅπερ ἤδη του ἔγωγε] The Bodl. omits *ὅπερ* with several other MSS. The

λέγεις ἃ οἱ ἄλλοι διανοοῦνται μέν, λέγειν δὲ οὐκ ἐθέλουσι. δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται πῶς βιωτέον. καί μοι λέγε· τὰς μὲν ἐπιθυμίας φὴς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἀμόθεν γέ ποθεν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι τὴν ἀρετήν; E

ΚΑΛ. Φημὶ ταῦτα ἐγώ.

ΣΩ. Οὐκ ἄρα ὀρθῶς λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι.

ΚΑΛ. Οἱ λίθοι γὰρ ἂν οὕτω γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι εἶεν.

ΣΩ. Ἀλλὰ μὲν δὴ καὶ ὧν γε σὺ λέγεις δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ' ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν;

secretly entertain, but are loth to express.

ἀμόθεν γέ ποθεν] 'from some source or other.' Restored by Bekk. for ἄλλοθέν γέ ποθεν found in all the MSS. The confusion is very common, as the forms ἀμοῦ, ἀμόθεν, ἀμῇ, ἀμῶς had ceased to exist in the later dialect. See Cobet, Vv. Ll., p. 255, and Schol. in Plat. Sophist. 259 D. In the Attic dialect these words are aspirated.

E. Οὐκ ἄρα ὀρθῶς λέγονται] Xen. Mem. i. 6. 10, Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι, ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου. καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου. Hence correct Olymp. in Gorg. comm. p. 121 (358 Jahn), ὁ οὖν πλήρη ἔχων (sc. τὸν πίθον) θεοῦ βίον ζῇ, for the corrupt θεοῦ διζῇ, by which the editor is baffled.

ὧν γε σὺ λέγεις] Vulg. ὥς γε σὺ λέγεις, corr. Badh. This again is a frequent error of copyists. Aesch. Prom. 629, μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ. Hermann ὧν—which is much better than Elmsley's μασσόνως ἢ 'μοὶ γλυκύ. In Lysias vii. § 31, προθυμότερον ὡς ἠναγκαζόμην, read ὧν ἠναγκαζόμην. The use of ὡς for ἤ after a comparative is a barbarism, though introduced by Prof. Sauppe into the text of the Epitaphius of Hyperides, Col. 14, l. 22. Here ὧν γε σὺ λέγεις is in antithesis to οἱ λίθοι καὶ οἱ νεκροί.

τίς δ' οἶδεν, εἰ τὸ ζῆν] This passage appears to have come from the Polyidus; and is thus completed by the Schol.,—

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται.

He is apparently in error when he says, ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου. The lines in the Phrixus ran thus, according to Stobaeus (Anth. 120. 18):—

τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.

The sentiment is parodied by Aristoph. (Ran. 1477). Τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, Τὸ πνεῖν δὲ δεινὸν τὸ δὲ καθεύδειν κώδιον; From ib. 1082, καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν, we may infer that a woman was the speaker in one at least of the Euripidean passages. The idea, though not the precise words, was borrowed from Heraclitus (Philo,

493 καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ὅπερ ἤδη του | ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν

Alleg. Leg. 1, fin.): μονονοὺ καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωϋσέως ἀκολουθήσας τῷ δόγματί, φησι· Ζῶμεν τὸν ἐκείνων (sc. θεῶν) θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον· ὡς νῦν μὲν ὅτε ἐνζῶμεν τεθνηκυίας τῆς ψυχῆς, καὶ ὡς ἂν ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης, εἰ δὲ ἀποθάνοιμεν τῆς ψυχῆς ζώσης τὸν ἴδιον βίον. From which the editors of Heraclitus' fragments infer that the well-known σῶμα σῆμα was first said by him. The Heraclitean fragm. is given at greater length by his namesake the author of the Homeric Allegories: ἄνθρωποι θεοὶ θνητοί, θεοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν (Ed. Gale, p. 442). A fragment quoted by Sext. Empir. comes nearer still to the words of Euripides: ὁ δὲ Ἡράκλειτός φησιν ὅτι καὶ τὸ ζῆν καὶ τὸ ἀποθανεῖν καὶ ἐν τῷ ζῆν ἡμᾶς ἐστι καὶ ἐν τῷ τεθνάναι· ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν τὰς ψυχὰς ἡμῶν τεθνάναι καὶ ἐν ἡμῖν τεθάφθαι, ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν: "Heraclitus says that both living and dying are in our life as well as in our death: when *we* live our souls are dead and are buried in us, when *we* die our souls revive and live" (Pyrrh. Hypot. iii. 230). But closer than all is the citation in Plutarch, Consol. ad Apoll. 106 E, φησὶν Ἡράκλειτος, ταὐτὸ . . ζῶν καὶ τεθνηκός . . . τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα. The meaning of this probably is, that life and death are part of one and the same process of continuous growth and decay, according to the principle implied in the formula διαφερόμενον ἀεὶ ξυμφέρεται (Plat. Soph. 242 E). It is not however to be supposed that Plato in the present passage refers to Heraclitus. The σοφός whom Socr. affects to quote may have been some Orphic or Pythagorizing speculator of his own day, for we know that both Pythagoreans and Orphics held the notion of a penal incarceration of the soul in the body (Plat. Crat. p. 400 B C, compared with Phaedo, 62 B). On the other hand the words τῆς ψυχῆς τοῦτο (sc. μέρος) ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσιν point to the Platonic doctrine of the tripartition of the soul (see Phaedrus, App. i. p. 164), and it might seem that Plato had here committed a conscious anachronism, in attributing the doctrine to some earlier school. Even this would not be inconsistent with the only half-in-earnest tone of the entire passage; for we know how easily the Platonic Socrates could evoke imaginary vouchers for his own views (comp. Phaedr. 275 B, Ὦ Σώκρατες, ῥᾳδίως σύ, κ.τ.λ.). Still as the σοφός in question appears in company with other undoubtedly real personages, I incline to think that some particular speculatist is intended. The comm. give us no light, but content themselves with accumulating passages from Heraclitus and from Plato, as if the difficulty were not rather to account for the juxtaposition of the dogmas of schools so distinct both in time and character. In suggesting the name of Philolaus, I rest upon the slender data that some rude "partition of the soul is attributed to him on reasonable and good authority" (see Zeller, Phil. der Griechen, i. p. 325, 2te Ausg.). Clemens Alex. quotes a fragment purporting to be his, but which may be only Plato in a Doric dress: ὡς διά τινας ἁμαρτίας ἃ ψυχὰ τῷ σώματι συνέζευκται, καὶ καθάπερ ἐν σάματι τέθαπται (Strom. iii. 433 A, ap. Lobeck, Aglaoph. p. 795). A better critic than Clemens, Athenaeus, gives the following important notice, on the authority of Clearchus the Peripatetic: Εὐξίθεος ὁ Πυθαγόρειος, ὃν Νίκιον, ὥς φησι Κλέαρχος ὁ Περιπατητικὸς ἐν δευτέρῳ Βίων, ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν· καὶ διείπασθαι τὸν θεόν, ὡς εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις, ἕως ἂν ἐκὼν αὐτὸς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις· διὸ πάντας εὐλαβουμένους τὴν τῶν κυρίων ἀνάτασιν φοβεῖσθαι τοῦ ζῆν ἐκόντας ἐκβῆναι, μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον ἀσπασίως προσιέσθαι, πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης, iv. p. 157 C. Compare Plat. Phaedo, 61 E, where *Philolaus* and 'certain others' are appealed to by Cebes as affirming the unlawfulness of suicide. This evidence in favour of the Pythagorean origin of the speculation in the text seems to me unexceptionable, and we can afford to give up the suspicious fragment of Clemens. Add Cicero de Senect. c. 20, "Vetat *Pythagoras* injussu imperatoris, id est Dei, de praesidio et vitae statione discedere."

ὅπερ ἤδη του ἔγωγε] The Bodl. omits ὅπερ with several other MSS. The

σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο ἐν ᾧ ἐπιθυμίαι εἰσὶ τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω. καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πιστικὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους· τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς οὗ αἱ ἐπι- B
θυμίαι εἰσί, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. τοὐναντίον δὴ οὗτος σοί, ὦ Καλλίκλεις, ἐνδείκνυται ὡς τῶν ἐν Ἅιδου—τὸ ἀειδὲς δὴ λέγων—οὗτοι ἀθλιώτατοι ἂν εἶεν

original reading may therefore have been ᾗ δή του ἔγωγε.

493. *καὶ τοῦτο ἄρα τις μυθολογῶν*] 'And it was this part of the soul, we may suppose, that an ingenious person, a Sicilian mayhap or Italian, allegorically styled a jar, in consideration of its persuadable and credulous nature, by a change in the word *πιθανός*, which he made into *πίθος*.' The **Σικελός** was possibly Empedocles, as Olympiodorus and the Schol. assert. To this Karsten, the editor of Empedocles, assents. "Probabile mihi videtur Empedoclem, ut religiosum hominem et mysteriorum patronum, *ἀμυήτους* vocasse dementes et miseros, eosque ut est in Danaidum fabulâ finxisse velut aquam fundentes in dolium perforatum (*πίθον τετρημένον*) quod insatiabilem libidinum cupiditatem significat. Haec fictio ab ingenio poetae (qualis fuit Empedocles) fabulas allegorice interpretantis haud aliena, neque vero e veterum judicio abhorret a fabulae sensu. Similiter in celebri Polygnoti picturâ praeter multa alia pictae erant duae mulieres, *φέρουσαι ὕδωρ ἐν κατεαγόσιν ὀστράκοις*, quibus erat inscriptio *εἶναι σφᾶς τῶν οὐ μεμυημένων*. Paus. x. c. 31. Caeterum quam misera haberetur in inferis *τῶν ἀμυήτων* sors, declarant nota Platonis dicta in Phaedon. p. 69" (Empedocl. ed. Karsten, p. 302). Here however we are not to suppose that Empedocles is *seriously* credited with the authorship of the psychological doctrine implied in the words *τῆς ψυχῆς τοῦτο ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσί*. The particle *ἄρα* frequently denotes an inference false but specious. Theaet. 171 C, *εἰκός γ' ἄρα ἐκεῖνον* (sc. *Πρωταγορὰν*) *πρεσβύτερον ὄντα σοφώτερον ἡμῶν εἶναι*. Rep. 358 C, *πολὺ γὰρ ἀμείνων ἄρα ὁ τοῦ ἀδίκου ἢ ὁ τοῦ δικαίου βίος, ὡς λέγουσιν*. Inf. B, *τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν αὐτήν*.

ἴσως Σικελός τις] Why **Σικελός**, rather than **Σικελικός**, which was read by Olymp. and Stobaeus, and is found in some codd.? The answer to this was given by Buttmann, who calls attention to a love-song of Timocreon Rhodius, beginning with the lines, **Σικελὸς κομψὸς ἀνὴρ Ποτὶ τὰν ματέρ' ἔφα**, ap. Hephaest. p. 40. Hence **Σικελὸς κομψὸς ἀνὴρ** became proverbial.

διὰ τὸ πιθανόν] Of *πιθανός* used passively we have an instance in Aesch. **Ag.** 485, *πιθανὸς ἄγαν ὁ θῆλυς ὄρος*.

τῶν δ' ἀμυήτων] Socrates makes *ἀμυήτους* synonymous with *οὐ στεγανούς*, 'the contrary of watertight,' deriving the word from *μύω* 'claudo,' instead of *μυέω* 'initio.' For this etymology his 'learned friend' is made responsible. Tr. 'But that portion of the uninitiate soul in which the appetites reside, its incontinent and irretentive part, he represented as a leaky jar, figuring thereby its insatiate nature,'—literally, 'using that similitude in consequence of the impossibility of filling it.'

B. *οὐ στεγανόν*] Compare with this Repub. ix. p. 586 B, *ἅτε οὐχὶ τοῖς οὖσιν οὐδὲ τὸ ὂν οὐδὲ τὸ στέγον ἑαυτῶν πιμπλάντες*.

ὡς τετρημένος εἴη πίθος] Shakspeare, Cymb. i. Sc. 7, "The cloyed will, That satiate yet unsatisfied desire, That tub both filled and running."

τοὐναντίον δὴ οὗτος σοί] 'Thus does my friend set forth to us, in direct opposition to you, Callicles, that of all the dwellers in Hades these, the uninitiated, must be the most wretched, being ever employed in lading water into the leaky jar with an equally leaky sieve.'

οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι· τὴν δὲ C ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι' ἀπιστίαν τε καὶ λήθην. ταῦτ' ἐπιεικῶς μέν ἐστιν ὑπό τι ἄτοπα, δηλοῖ μὴν ὃ ἐγὼ βούλομαί σοι ἐνδειξάμενος, ἐάν πως οἷός τε ὦ, πεῖσαι μεταθέσθαι, ἀντὶ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχοντος βίου τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔχοντα βίον ἑλέσθαι. ἀλλὰ πότερον πείθω τί σε D καὶ μετατίθεσαι εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους

ἑτέρῳ τοιούτῳ τετρημένῳ] The repetition of *τετρημένῳ*, though suspicious, seems to be supported by Phaedo, 80 D, *ἡ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς*, a passage which also illustrates the foregoing *ἐν Ἅιδου, τὸ ἀειδὲς δὴ λέγων*. The image is also found in Shakspeare,—

"Yet in this captious and intenible sieve
I still pour in the waters of my love,
And lack not to lose still."
All's Well that ends Well, I. iii. 193.

C. *δι' ἀπιστίαν τε καὶ λήθην*] 'by reason of its fickle and forgetful nature.' Legg. iv. 705 A, *ἦθη παλίμβολα καὶ ἄπιστα*. Ibid. vi. 775 D, *ἀνώμαλα καὶ ἄπιστα*.

ἐπιεικῶς . . . ὑπό τι ἄτοπα] 'Satis subabsurda,' the only rendering of which these words will admit, is more than 'somewhat absurd.' There seems to be no authority for the meaning of *ἐπιεικῶς*, assumed by Ast and Stallb.. 'freilich,' Eng. 'it must be confessed,' which is rather the force of the particle *μέν*, nor is the rendering 'sane' given in his Lexicon justified by the passage of the Phaedon there adduced. *ἐπιεικῶς* can here only mean 'satis,' 'admodum' —as we say, 'absurd enough:' so supr. 485, *πρός σε ἐπιεικῶς ἔχω φιλικῶς*. One might conjecture, *ἐπιεικῶς μέν ἐστιν ἢ ὑπό τι ἄτοπα*, but this would perhaps be *subfrigid*. And yet few would consent, except in the last resort, to omit *ἐπιεικῶς*, as Hirsch. following Cobet has done. If either must be sacrificed, it is better to omit *ὑπό τι*, for which one MS. gives *εἰπόντι*, if I understand Bekker aright. If this was not originally intended to supplement *ἐπιεικῶς*, it may represent a different reading from the received. What Olympiodorus found is also doubtful, as his gloss hardly corresponds to the text as we have it. He says, *τοὺς δὲ τοιούτους μύθους οὐ πάνυ ἀτόπους καλεῖ ὡς πρὸς τοὺς ποιητικοὺς παραβάλλων, ἐπειδὴ ἐκεῖνοι μὲν βλάπτουσι*, Ol. Schol. p. 120. Perhaps he only meant to paraphrase *ὑπό τι* by *οὐ πάνυ* in the sense, 'not altogether,' 'not quite.' Meanwhile we may translate the passage thus: 'These details, it is true, are more or less absurd; yet there is no doubt as to the point, by proving which I mean, if possible, to induce you to retract your former preference,—in lieu, that is, of the life of unsated indulgence, to elect that rival life which is characterized by moderation and contentment.' *δ* depends upon *ἐνδειξάμενος*, 'what having proved, I wish,' and, as Stallb. observes, there is no necessity for admitting the inferior reading *ἐνδείξασθαι*. It is nearly indifferent whether we take *δηλοῖ* as impersonal ('patet,' 'liquet'), or construct it as a transitive with *ταῦτα*. The *καί*, which in one MS. follows *μεταθέσθαι* and is admitted by Bekk. and Hirsch., is not needed, as *ἑλέσθαι* is either epexegetic or may be understood to depend upon *μεταθέσθαι*. Stallb. prefers the latter view; to me the former seems the simpler of the two, and in accordance with Plato's usage.

μεταθέσθαι] Comp. Rep. 345 B, *ἔμμενε τούτοις, ἢ ἐὰν μετατιθῇ φανερῶς μετατίθεσο, καὶ ἡμᾶς μὴ ἐξαπάτα*. The word, like *θέσθαι* and *ἀναθέσθαι*, may have been transferred from the game of draughts to verbal contests.

μετατίθεσαι] Equiv. to *μεταθέμενος*

τῶν ἀκολάστων, ἢ οὐδέν, ἀλλ' ἂν καὶ πολλὰ τοιαῦτα μυθολογῶ, οὐδέν τι μᾶλλον μεταθήσει;

ΚΑΛ. Τοῦτ' ἀληθέστερον εἴρηκας, ὦ Σώκρατες.

XLVIII. ΣΩ. Φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν. σκόπει γὰρ εἰ τοιόνδε λέγεις περὶ τοῦ βίου ἑκατέρου τοῦ τε σώφρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ δυοῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν, καὶ τῷ μὲν ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις, ὁ μὲν οἴνου, ὁ δὲ μέλιτος, ὁ δὲ γάλακτος καὶ ἄλλοι πολλοὶ πολλῶν, νάματα δὲ E σπάνια καὶ χαλεπὰ ἑκάστου τούτων εἴη καὶ μετὰ πολλῶν πόνων καὶ χαλεπῶν ἐκποριζόμενα· ὁ μὲν οὖν ἕτερος πληρωσάμενος μήτ' ἐποχετεύοι μήτε τι φροντίζοι, ἀλλ' ἕνεκα τούτων ἡσυχίαν ἔχοι· τῷ δ' ἑτέρῳ τὰ μὲν νάματα, ὥσπερ καὶ ἐκείνῳ, δυνατὰ μὲν πορίζεσθαι, χαλεπὰ δέ, τὰ δ' ἀγγεῖα τετρημένα καὶ σαθρά, καὶ ἀναγκάζοιτο ἀεὶ καὶ νύκτα καὶ ἡμέραν πιμπλάναι | αὐτά, ἢ τὰς ἐσχάτας 494
λυποῖτο λύπας· ἆρα τοιούτου ἑκατέρου ὄντος τοῦ βίου, λέγεις τὸν τοῦ ἀκολάστου εὐδαιμονέστερον εἶναι ἢ τὸν τοῦ κοσμίου; πειθω τί σε ταῦτα λέγων συγχωρῆσαι τὸν κόσμιον βίον τοῦ ἀκολάστου ἀμείνω εἶναι, ἢ οὐ πείθω;

ΚΑΛ. Οὐ πείθεις, ὦ Σώκρατες. τῷ μὲν γὰρ πληρω-

ἠγεῖ. "Mutasne ita sententiam ut statuas feliciores esse modestos libidinosis?" Simili βραχυλογίᾳ μεταγνῶναι adhibitum a Thucyd. i. 44, μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι, κ.τ.λ. Heind. The Bodl. and several other MSS. have μετατίθεσθαι, an evident blunder.

D. Τοῦτ' ἀληθέστερον] i. e. ἐκείνου. No number of such fables will induce Callicles to transfer his preference.

ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν] 'from the same school with the last,' qu. τῇ νῦν δή. The moral of this latter allegory is much the same as that of the former, of which it seems to have been but another version—possibly by a different hand. The Schol. suggests, ἦν δὲ ἐκεῖνο μὲν τῶν Πυθαγορείων οἰκεῖον, τοῦτο δὲ Σωκράτους, ὡς σαφέστερόν τε καὶ πληκτικώτερον. Olymp., ἰστέον ὅτι σχεδὸν τὸ αὐτό ἐστι τὸ ἐπιχείρημα τοῦτο τῷ Πυθαγορείῳ· διὰ τοῦτο γὰρ εἶπεν ὁ Σωκράτης ὅτι τοῦ αὐτοῦ γυμνασίου. Empedocles, as an Eclectic, borrowed much from the Pythagoreans, with whom he is sometimes classed, as by Olymp. and the Schol.

E. νάματα δὲ σπάνια] 'Suppose that the supplies of these several liquids are scanty and hard to get; in fact, not to be procured without frequent and severe exertion. We will further suppose that one of the two persons mentioned, when he has once filled his jars, does not trouble himself to feed them with fresh supplies, but lets well alone, so far as the vessels are concerned.' The different liquids denote of course the variety in the objects of human desire. All are represented as more or less agreeable to the taste. For the sense of νᾶμα compare Phaedr. 235 D, λείπεται δή, οἶμαι, ἐξ ἀλλοτρίων ποθὲν ναμάτων πεπληρῶσθαί με δίκην ἀγγείου.

E. τὴν αὐλητικήν] 'Auletic' was one of Plato's favourite aversions. Rep. 399 D, τί δέ; αὐλοποιοὺς ἢ αὐλητὰς παραδέξει εἰς τὴν πόλιν; ἢ οὐ τοῦτο πολυχορδότατον, καὶ αὐτὰ τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα μιμήματα; This illustrates a difficult passage in Philebus 56, where the reading αὐλητική is not to be disturbed. The flute was used in religious ceremonies of an exciting and impassioned kind, such as the orgiastic rites of Bacchus and Cybele. It was probably from the associations thus suggested that it derived its ill name; for we must not forget, in estimating the reasonableness of the prejudice, that the dramas of Sophocles and Aeschylus were accompanied by the flute.

ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσιν] The latter words are emphatic, as the Schol. has correctly observed: αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δὲ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην· οἶδε γὰρ ἄλλην ἣν σώζειν τὰς πολιτείας νενόμικεν. He refers to Rep. l. l., λύρα δή σοι καὶ κιθάρα λείπεται, καὶ κατὰ πόλιν χρήσιμα. In fact all the fine arts, rhetoric included, are allowed in the Platonic state, but in subordination to the educational purposes for which civil society is supposed to exist. The citharistic practised in the musical contests seemed to Plato an aimless exhibition of manual skill, and therefore an ἄλογος τριβή, "τὸ ξύμφωνον ἁρμόττουσα οὐ μέτρῳ ἀλλὰ μελέτης στοχασμῷ"—"by rule of thumb," as we should say (Phileb. l. l.).

Κινησίαν τὸν Μέλητος] Cinesias is mercilessly ridiculed by Aristophanes for the wildness and incoherency of his dithyrambic effusions: Ran. 153, where see Schol., ib. 366. Nub. 333. Av. 1379, &c. The hearty assent of Callicles to the censure in the text seems to prove that Plato and Aristophanes represented the general opinion in regard of this poet.

502. Τί δὲ ὁ πατὴρ αὐτοῦ Μέλης] Pherecrates, Com. ap. Schol. Arist. Av. 858, Φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; Ὁ Πεισίου Μέλης. μετὰ δὲ Μέλητα τίς; Ἔχ' ἀτρέμ', ἐγῷδα, Χαῖρις. Presently ἐκεῖνος = this last, as in Phaedr. 231 C, ὅσων ἂν ὕστερον ἐρασθῶσιν, ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται, where see the note.

πρὸς τὸ βέλτιστον βλέπων] One MS. omits βλέπων, which Hirsch. brackets. Though not needed, the participle seems to me innocuous.

πρὸς τὸ ἥδιστον; ἡνία γὰρ ἄδων τοὺς θεατάς. ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς χάριν εὑρῆσθαι;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστή, ἡ τῆς B τραγῳδίας ποίησις, ἐφ' ᾧ ἐσπούδακε; πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ, χαρίζεσθαι τοῖς θεαταῖς μόνον, ἢ καὶ διαμάχεσθαι, ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον, πονηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ, εἰ δέ τι τυγχάνει ἀηδὲς καὶ ὠφέλιμον, τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται, ἐάν τε χαίρωσιν ἐάν τε μή; ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις;

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὅτι πρὸς τὴν C ἡδονὴν μᾶλλον ὥρμηται καὶ τὸ χαρίζεσθαι τοῖς θεαταῖς.

ΣΩ. Οὐκοῦν τὸ τοιοῦτον, ὦ Καλλίκλεις, ἔφαμεν νῦν δὴ κολακείαν εἶναι.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι λόγοι γίγνονται τὸ λειπόμενον;

B. Τί δὲ δὴ ἡ σεμνὴ—ἐφ' ᾧ ἐσπούδακε] The order is: τί δὲ δή (ἐστιν ἐκεῖνο) ἐφ' ᾧ ἐσπούδακεν ἡ σεμνὴ καὶ θ. 'What of that grave and august personage, Tragedy—what, I say, is the object of *her* ambition?' The repetition of ἡ is thus illustrated by Stallb.: "E vulgari ratione dicendum erat: τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ποίησις, ἡ τῆς τραγῳδίας; sc. ποίησις. Sed eodem modo Herod. vii. 196: ὁ ναυτικὸς ὁ τῶν βαρβάρων στρατός. Plat. Symp. 213 E, τὴν τούτου ταυτηνὶ τὴν θαυμαστὴν κεφαλήν," &c. The censure which follows is too sweeping even from Plato's point of view, for Euripides at any rate aimed at a moral purpose of one sort or other, and sacrificed to his zeal as an instructor much of the popularity and much also of the poetical beauty of his plays. As a criticism on Sophocles and Aeschylus it is, to modern apprehension, still more deplorable. Compare, or rather contrast Phaedrus 268 C, a passage which proves that Plato had a thorough perception of poetic excellence, whenever it suited him to forget his political theories.

εἰ δέ τι τυγχάνει—ὠφέλιμον] On the omission of the participle see note to Phaedrus 263 D. Hirsch., as usual, inserts ὄν after ὠφέλιμον.

καὶ λέξει καὶ ᾄσεται] 'he will introduce both in dialogue and in song.'

C. εἴ τις περιέλοιτο] 'if we strip any kind of poetry of melody, rhythm, and metre, the residue consists of speeches, does it not?'—where γίγνονται agrees with the predicate, as freq. in Plato. All the MSS. but one have ἄλλο τι ἤ, but this is a case in which the conjunction is better omitted. This follows from the answer of Callicles—not οὐδὲν ἄλλο, but ἀναγκή. For περιέλοιτο the Schol. gives περιέλοι, and so Ar. Rhet. in a passage copied from this: εἴ τις τῆς ποιήσεως περιέλοι τὸ μέτρον καὶ τὸν ῥυθμόν, δημηγορία δὴ τὸ λειπόμενόν ἐστιν, Or. Plat. ii. p. 278. But Ast quotes

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι λέγονται οἱ λόγοι.

ΚΑΛ. Φημί.

ΣΩ. Δημηγορία ἄρα τίς ἐστιν ἡ ποιητική.

ΚΑΛ. Φαίνεται.

D ΣΩ. Οὐκοῦν ῥητορικὴ δημηγορία ἂν εἴη. ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν ἄρα ἡμεῖς εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν καὶ ἀνδρῶν, καὶ δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα· κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι.

ΚΑΛ. Πάνυ γε.

LVIII. ΣΩ. Εἶεν. τί δὲ ἡ πρὸς τὸν Ἀθηναίων E δῆμον ῥητορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πόλεσι δήμους τοὺς τῶν ἐλευθέρων ἀνδρῶν, τί ποτε ἡμῖν αὖτη ἐστί; πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὑτῶν λόγους, ἢ καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι, καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὑτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ, ὥσπερ παισὶ

Xen. Cyr. viii. 1. 47, *τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπολέμους ποιῆσαι ἀπεδοκίμασε.*

D. *ἢ οὐ ῥητορεύειν δοκοῦσι*] Probably this was more true of the tragic poets of the fourth than of the fifth century. But the rhetorical tendency of Euripides is proverbial, and even in Sophocles there is much which seems to us to need apology on this score. But Socr. means the proposition to be absolute, in which case it becomes untrue; for 'persuasion' is not the end of tragic poetry as of rhetoric. Nor indeed is 'pleasure' the end, but rather a condition of its excellence. In the Laws the 'truest tragedy' is said to be the 'imitation of the noblest and best life' (817 B).

Νῦν ἄρα ἡμεῖς] 'So now between us we have discovered a species of rhetoric which addresses itself to a concourse of people comprising men, women, and children, both bond and free, and it is one we are far from admiring.' It follows from this that there was no restriction of age or sex in the admission to tragic spectacles. From the Laws, p. 658 D, we should infer that 'big boys' were allowed to witness comedies; but that women were excluded seems to follow from the classification of the audience in Arist. Pax 50, which includes only males.

κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι] Tragedy, says the Schol., is a *κολακεία*, because it utters moral sentiments, and talks largely of justice, beauty, and goodness. Stript of its metres, it is a *δημηγορία*, for both are provocative of violent emotions (*παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι*). Comp. Isocr. Evag. p. 191, *ἦν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης ἣν νῦν ἔχομεν περὶ αὐτῶν.*

προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτ', οὐδὲν φροντίζουσιν;

| ΚΑΛ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς· εἰσὶ μὲν γὰρ οἳ 503
κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις.

ΣΩ. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἑτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον καλόν, τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαί, καὶ ἀεὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσιν. ἀλλ' οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητο- Β
ρικήν· ἢ εἴ τινα ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας τίς ἐστιν;

ΚΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα.

ΣΩ. Τί δέ; τῶν παλαιῶν ἔχεις τινὰ εἰπεῖν δι' ὃντινα αἰτίαν ἔχουσιν Ἀθηναῖοι βελτίους γεγονέναι, ἐπειδὴ ἐκεῖνος ἤρξατο δημηγορεῖν, ἐν τῷ πρόσθεν χρόνῳ χείρους ὄντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδα τίς ἐστιν οὗτος.

503. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς] 'To this question the answer is not single as hitherto: there are speakers who in what they say have a due regard to the good of their fellow-citizens; and there are also speakers such as you describe.' Early edd. have τοῦτο δ ἐρωτᾷς, which Bekk. following Heind. corrected from two MSS. The abbreviated construction is neater, and of constant occurrence. Phileb. 29 C, Τοῦτο μὲν οὐδ' ἀποκρίσεως ἄξιον ἐρωτᾷς.

εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν] 'If even this is double;' i. e. if rhetoric also has two aspects, like that of which it is a part. Socr. is thinking of his own frequent "dichotomies," especially of that which occurs in this dialogue, 464 B, where sophistic and rhetoric divide between them the psychical branch of κολακική. He does not absolutely deny that there is a sound and good rhetoric, but leaves the onus probandi to Callicles, who owns that he knows not where to look for such a rhetoric among the politicians of the day, but reminds Socr. of the four great statesmen of the past. This gives occasion to Plato's celebrated attack on the 'Quatuorviri,' which called forth the elaborate apology of Aristides Rhetor.

Β. τί οὐχὶ — ἔφρασας] Equiv. to φράσον δ τι τάχιστα—οὐχ ἂν φθάνοις φράζων; Menex. 236 C, τί οὖν οὐ διῆλθες; Eur. Heracl. 804, Κἄπειτ' ἔλεξεν, ὃν στρατηγ' ὁς Ἀργόθεν Ἥκεις, τί τῆνδε γαῖαν οὐκ εἰδσαμεν; where see Elmsley's note. Here transl. 'Pray lose no time in telling his name.' καὶ ἐμοί, 'that I may know as well as you.' Lat. 'Quin mihi etiam quis sit indicas?'

Ἀλλὰ μὰ Δί' οὐκ ἔχω] Aristophanes makes a similar complaint: Ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ Ἐστ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους, Ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν, Eq. 191. Comp. Pax 680.

Τί δέ; τῶν παλαιῶν κ.τ.λ.] 'Well, and of the statesmen of the old time, is there one you can name, by whom the Athenians are alleged to have been made better; the improvement dating from his first appearance on the bema, before which they were worse than they afterwards became?'

C ΚΑΛ. Τί δέ; Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα καὶ Κίμωνα καὶ Μιλτιάδην καὶ Περικλέα τουτονὶ τὸν νεωστὶ τετελευτηκότα, οὗ καὶ σὺ ἀκήκοας;

ΣΩ. Εἰ ἔστι γε, ὦ Καλλίκλεις, ἣν πρότερον σὺ ἔλεγες ἀρετήν, ἀληθής, τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι καὶ τὰς αὑτοῦ καὶ τὰς τῶν ἄλλων· εἰ δὲ μὴ τοῦτο, ἀλλ' ὅπερ ἐν τῷ ὑστέρῳ λόγῳ ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν, ὅτι αἱ μὲν τῶν ἐπιθυμιῶν πληρούμεναι βελτίω ποιοῦσι τὸν ἄνθρωπον,
D ταύτας μὲν ἀποτελεῖν, αἱ δὲ χείρω, μή· τοῦτο δὲ τέχνη τις εἶναι· τοιοῦτον ἄνδρα τούτων τινὰ γεγονέναι ἔχεις εἰπεῖν;

ΚΑΛ. Οὐκ ἔχω ἔγωγε πῶς εἴπω.

C. τὸν νεωστὶ τετελευτηκότα] Athenaeus pounces upon this as a gross anachronism. He argues (v. 217 D) that if Archelaus is reigning at this time (supra, 470 D), Pericles has been long dead; and *vice versâ*, that if Pericles is but recently dead, Archelaus is not yet seated on the throne. Casaubon attempts to get out of the dilemma by insisting (valeat quantum) that the death of Pericles was *comparatively* recent 'respectu superiorum.' But two times are pretty distinctly indicated in the dialogue (compare sup. 473 E), and the liberty taken is by no means so great as in the Menexenus, where an event is alluded to which notoriously occurred thirteen years after the death of Socr. Nothing can be more true than the remark of Athenaeus, ὅτι πολλὰ ὁ Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνει, nor any thing idler than his abuse of Plato on this account.

εἰ δὲ μὴ τοῦτο — μή] This passage loses its difficulty if we suppose ἀρετὴ ἀληθής ἐστιν repeated after αἱ δὲ χείρω, μή. 'But if this is not so, but that is true which we were forced to acknowledge later in the discussion, viz. that the fulfilment of those desires which we are the better for indulging, and the restraint of those which make us worse, is true virtue.' In the next clause, whether we read τοῦτο with the Bodl. or τούτου with the vulg., an apparent breach of syntax remains: τέχνη τις for τέχνην τινά. Hence Ast ingeniously proposed τοῦτο δὲ τέχνης εἶναι. He now assents to Stallb., who conceives Plato to have written as if for the preceding ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν the words ὡμολογεῖτο ἡμῖν had occurred; and if the text is to stand, we must suppose some such ellipsis. In any case there is no room for the coarse expedient of supposing "ὅτι followed by an infinitive," for in that case we must have found τέχνην τινά. Neither is δεῖν understood after ἀποτελεῖν, for we have here a scientific description of ἀρετή, not a mere moral maxim. Otherwise it would be better at once to replace δεῖν in the text, from which it might easily have dropped, 'absorbed' by the foregoing ΑΠΟΤΕΛΕΙΝ. But if any alteration were needed, I should prefer changing εἶναι for the oblique εἴη. In an ethical point of view the passage is noteworthy, as it presents in harmony two theories which are generally contrasted, the psychological and the utilitarian. Our actions are to be determined by a consideration of their consequences, but of these consequences those which affect the moral nature of ourselves or others are mainly to be kept in view. Observe also that development is to accompany restraint; the statesman is not only to curb the evil passions of the citizens, but also to foster their nobler impulses, such as the desire of knowledge, beauty, &c. This is the true statecraft; and tried by this standard Themistocles and his compeers are found wanting. They had not the skill to determine what desires were legitimate and what not, nor how to further the one and restrain the other: in a word, they were not τεχνικοὶ τούτων πέρι. This is the force of τοιοῦτον ἄνδρα in the next clause: we need not understand the question as an insinuation against the private characters, which were very various, of the great men enumerated.

LIX. ΣΩ. Ἀλλ' ἐὰν ζητῇς καλῶς, εὑρήσεις· ἴδωμεν δὴ οὑτωσὶν ἀτρέμα σκοπούμενοι εἴ τις τούτων τοιοῦτος γέγονε. φέρε γάρ, ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων ἃ ἂν λέγῃ, ἄλλο τι οὐκ εἰκῇ ἐρεῖ, ἀλλ' ἀποβλέπων, E πρός τι; ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ βλέποντες πρὸς τὸ αὐτῶν ἔργον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρει ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ, ἀλλ' ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται. οἷον εἰ βούλει ἰδεῖν τοὺς ζωγράφους, τοὺς οἰκοδόμους, τοὺς ναυπηγούς, τοὺς ἄλλους πάντας δημιουργούς, ὄντινα βούλει αὐτῶν, ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ, καὶ προσαναγκάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττειν, ἕως | ἂν τὸ ἅπαν συστήσηται τεταγ- 504
μένον τε καὶ κεκοσμημένον πρᾶγμα, καὶ οἵ τε δὴ ἄλλοι δημιουργοὶ καὶ οὓς νῦν δὴ ἐλέγομεν, οἱ περὶ τὸ σῶμα παιδοτρίβαι τε καὶ ἰατροί, κοσμοῦσί που τὸ σῶμα καὶ συντάττουσιν. ὁμολογοῦμεν οὕτω τοῦτ' ἔχειν ἢ οὔ;

ΚΑΛ. Ἔστω τοῦτο οὕτως.

ΣΩ. Τάξεως ἄρα καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ μοχθηρά;

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πλοῖον ὡσαύτως; B

ΚΑΛ. Ναί.

D. *οὑτωσὶν ἀτρέμα*] The majority of codd. give *οὑτωσὶ ἀτρέμα*. So also Bekk. here and in p. 509 A, 510 E. But the *ν ἐφελκ.* is legitimate in *οὑτοσὶν ἐκεινοσίν* and their cases ending in *ς*. See the reff. to the Greek Grammarians in Steph. Lex. iii. p. 408 D, ed. Dind., comparing ibid. v. pp. 2432. 2435. The idiom *οὑτωσὶν ἀτρέμα* has been illustrated in the note to 494 E. Here tr. 'quite at our ease.'

ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων] A true political rhetoric, it is urged, must follow the analogy of other arts. It must have a definite object, and select its means and instruments intelligently and with an eye to that object. The craftsman, whether painter, architect, or shipwright, seeks to fashion his materials according to a particular type or form; and his work is done when he has so marshalled the parts that they constitute an orderly and consistent whole. In this order, when realized, consists the excellence of the work. In the human body such order or excellence is called health; in the soul it is virtue. But the soul is the matter on which the rhetorical statesman operates: for rhetoric, as defined in the Phaedrus, is a *ψυχαγωγία διὰ λόγων*, and the art Politic has already been pronounced to be a *θεραπεία ψυχῆς*, sup. 464 B. It is therefore the business of the *ῥήτωρ* or statesman (for present purposes the two being identical) to make his hearers sober, just, and generally virtuous; and that not only by direct encouragement, but by the restraints of law. With this entire passage compare Sophist. p. 228.

ΣΩ. Καὶ μὴν καὶ τὰ σώματά φαμεν τὰ ἡμέτερα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τί δ' ἡ ψυχή; ἀταξίας τυχοῦσα ἔσται χρηστή, ἢ τάξεώς τε καὶ κόσμου τινός;

ΚΑΛ. Ἀνάγκη ἐκ τῶν πρόσθεν καὶ τοῦτο συνομολογεῖν.

ΣΩ. Τί οὖν ὄνομά ἐστιν ἐν τῷ σώματι τῷ ἐκ τῆς τάξεώς τε καὶ τοῦ κόσμου γιγνομένῳ;

ΚΑΛ. Ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις.

ΣΩ. Ἔγωγε. τί δὲ αὖ τῷ ἐν τῇ ψυχῇ ἐγγιγνομένῳ
C ἐκ τῆς τάξεως καὶ τοῦ κόσμου; πειρῶ εὑρεῖν καὶ εἰπεῖν ὥσπερ ἐκείνῳ τὸ ὄνομα.

ΚΑΛ. Τί δὲ οὐκ αὐτὸς λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἀλλ' εἴ σοι ἥδιόν ἐστιν, ἐγὼ ἐρῶ. σὺ δέ, ἂν μέν σοι δοκῶ ἐγὼ καλῶς λέγειν, φάθι· εἰ δὲ μή, ἔλεγχε καὶ μὴ ἐπίτρεπε. ἐμοὶ γὰρ δοκεῖ ταῖς μὲν τοῦ σώματος τάξεσιν ὄνομα εἶναι ὑγιεινόν, ἐξ οὗ ἐν αὐτῷ ἡ ὑγίεια γίγνεται καὶ ἡ ἄλλη ἀρετὴ τοῦ σώματος. ἔστι ταῦτα ἢ οὐκ ἔστιν;

ΚΑΛ. Ἔστιν.

ΣΩ. Ταῖς δὲ τῆς ψυχῆς τάξεσι καὶ κοσμήσεσι νόμιμόν
D τε καὶ νόμος, ὅθεν καὶ νόμιμοι γίγνονται καὶ κόσμιοι· ταῦτα δ' ἔστι δικαιοσύνη τε καὶ σωφροσύνη. φὴς ἢ οὔ;

ΚΑΛ. Ἔστω.

LX. ΣΩ. Οὐκοῦν πρὸς ταῦτα βλέπων ὁ ῥήτωρ ἐκεῖνος, ὁ τεχνικός τε καὶ ἀγαθός, καὶ τοὺς λόγους προσοίσει ταῖς ψυχαῖς οὓς ἂν λέγῃ καὶ τὰς πράξεις ἁπάσας, καὶ δῶρον ἐάν τι διδῷ, δώσει, καὶ ἐάν τι ἀφαιρῆται,

504 C. εἰπεῖν ὥσπερ ἐκείνῳ τὸ ὄνομα] Crat. 385 D, καλεῖν ἑκάστῳ ὄνομα, where see the instances quoted by Heind. More freq. is ἐπί τινι.

ταῖς μὲν τοῦ σώματος τάξεσιν] The appliances for producing order in the body are called salutary or "sanitary," and the result of such means and appliances is health, and the general virtue or excellence of the body. So in the soul, right and law are the means, moral virtue the result. κοσμήσεις and τάξεις are here synonymous, and mean 'processes which produce order,' 'arrangements,' 'ordinances.'

D. ταῦτα δ' ἔστι] Not τὸ νόμιμόν τε καὶ νόμος, which are causes, but τὸ νόμιμον καὶ κόσμιον γεγονέναι, the result of law and regular government, is the same thing as temperance and justice.

δῶρον ἐάν τι διδῷ] This may have special reference to the well-known liberality of Cimon: or perhaps to the theoric allowances made to the Athenian demus by Pericles, who might very fairly have argued that the Athenians

ἀφαιρήσεται, πρὸς τοῦτο ἀεὶ τὸν νοῦν ἔχων, ὅπως ἂν αὐτοῦ τοῖς πολίταις δικαιοσύνη μὲν ἐν ταῖς ψυχαῖς γίγνηται, ἀδικία δὲ ἀπαλλάττηται, καὶ σωφροσύνη μὲν ἐγγίγνηται, ἀκολασία δὲ ἀπαλλάττηται, καὶ ἡ ἄλλη ἀρετὴ ἐγγίγνηται, κακία δὲ ἀπίῃ. συγχωρεῖς ἢ οὔ; E

ΚΑΛ. Συγχωρῶ.

ΣΩ. Τί γὰρ ὄφελος, ὦ Καλλίκλεις, σώματί γε κάμνοντι καὶ μοχθηρῶς διακειμένῳ σιτία πολλὰ διδόναι καὶ τὰ ἥδιστα ἢ ποτὰ ἢ ἄλλ' ὁτιοῦν, ὃ μὴ ὀνήσει αὐτὸ ἔσθ' ὅτε πλέον ἢ τοὐναντίον κατά γε τὸν δίκαιον λόγον καὶ ἔλαττον; ἔστι ταῦτα;

| ΚΑΛ. Ἔστω. 505

ΣΩ. Οὐ γάρ, οἶμαι, λυσιτελεῖ μετὰ μοχθηρίας σώματος ζῆν ἀνθρώπῳ· ἀνάγκη γὰρ οὕτω καὶ ζῆν μοχθηρῶς. ἢ οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ τὰς ἐπιθυμίας ἀποπιμπλάναι, οἷον πεινῶντα φαγεῖν ὅσον βούλεται ἢ διψῶντα πιεῖν, ὑγιαίνοντα μὲν ἐῶσιν οἱ ἰατροὶ ὡς τὰ πολλά, κάμνοντα δέ, ὡς ἔπος εἰπεῖν, οὐδέποτ' ἐῶσιν ἐμπίπλασθαι ὧν ἐπιθυμεῖ; συγχωρεῖς τοῦτό γε καὶ σύ;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Περὶ δὲ ψυχήν, ὦ ἄριστε, οὐχ ὁ αὐτὸς τρόπος; B ἕως μὲν ἂν πονηρὰ ᾖ, ἀνόητός τε οὖσα καὶ ἀκόλαστος καὶ ἄδικος καὶ ἀνόσιος, εἴργειν αὐτὴν δεῖ τῶν ἐπιθυμιῶν καὶ μὴ ἐπιτρέπειν ἄλλ' ἄττα ποιεῖν ἢ ἀφ' ὧν βελτίων ἔσται; φὴς ἢ οὔ;

ΚΑΛ. Φημί.

ΣΩ. Οὕτω γάρ που αὐτῇ ἄμεινον τῇ ψυχῇ;

were, or ought to have been made better by listening to the plays of Sophocles and his brother-tragedians.

E. Τί γὰρ ὄφελος] The meaning seems to be: 'What is the use of administering to a diseased body a variety of dishes, or the most delicious of drinks or other compounds, when these will frequently be of no more service to it than abstinence and mortification (τοὐναντίον πολλῶν σιτίων κ.τ.λ.), nay, rightly considered, will do it even less good than abstinence?' But there remains a seeming asyndeton in the last clause, which Heind. proposes to remove by reading ἢ κατά γε τὸν δίκαιον λόγον καὶ ἔλαττον: but Stallb. is possibly right in defending the received text by the analogy of such phrases as ὀλίγον καὶ οὐδέν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἐπιθυμεῖ κολάζειν ;

ΚΑΛ. Ναί.

C ΣΩ. Τὸ κολάζεσθαι ἄρα τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία, ὥσπερ σὺ νῦν δὴ ᾤου.

ΚΑΛ. Οὐκ οἶδ' ἅττα λέγεις, ὦ Σώκρατες, ἀλλ' ἄλλον τινὰ ἐρώτα.

ΣΩ. Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ αὐτὸς τοῦτο πάσχων περὶ οὗ ὁ λόγος ἐστί, κολαζόμενος.

ΚΑΛ. Οὐδέ γέ μοι μέλει οὐδὲν ὧν σὺ λέγεις, καὶ ταῦτά σοι Γοργίου χάριν ἀπεκρινάμην.

ΣΩ. Εἶεν. τί οὖν δὴ ποιήσομεν ; μεταξὺ τὸν λόγον καταλύομεν ;

ΚΑΛ. Αὐτὸς γνώσει.

D ΣΩ. Ἀλλ' οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέμις εἶναι καταλείπειν, ἀλλ' ἐπιθέντας κεφαλήν, ἵνα μὴ ἄνευ κεφα-

505 B. Οὐκοῦν τὸ εἴργειν] The order is, οὐκοῦν τὸ εἴργειν ἀφ' ὧν ἐπιθυμεῖ κολάζειν ἐστίν ; 'to restrain a man from gratifying his appetites is to chasten him, is it not ?' The seeming play upon the words κολάζεσθαι and ἀκολασία in the next question may be represented in English by 'chastisement' and 'unchasteness,' though the latter word denotes only one form of ἀκολασία. Punishment is treated by Plato as either exemplary or corrective, never as simply retributive, a view which he distinctly deprecates. See Legg. 934 A, οὐχ ἕνεκα τοῦ κακουργῆσαι (διδότω) τὴν δίκην, οὐ γὰρ τὸ γεγονὸς ἀγένητον ἔσται ποτέ, τοῦ δ' εἰς τὸν αὖθις ἕνεκα χρόνον ἢ τὸ παράπαν μισῆσαι τὴν ἀδικίαν αὐτόν τε καὶ τοὺς ἰδόντας αὐτὸν δικαιούμενον, ἢ λωφῆσαι μέρη πολλὰ τῆς τοιαύτης ξυμφορᾶς. Comp. ibid. p. 854 B, and see note inf. p. 525 A.

C. Οὗτος ἀνήρ] "Behold a man who cannot bear to be improved, or to submit in his own person to that 'chastisement' which is the subject of our conversation." See above, 489 B, οὐτοσὶν ἀνὴρ οὐ παύσεται φλυαρῶν.

μεταξὺ τὸν λόγον καταλύομεν] 'Do we break off,' or 'are we to break off the discussion ?' Some MSS. have καταλύωμεν, but the pres. indic. is idiomatic, as in such phrases as τί ; πῶς λέγομεν ; Sup. 504, ὁμολογοῦμεν οὕτω τοῦτ' ἔχειν ; inf. 513 C, λέγομέν τι πρὸς ταῦτα ;

Αὐτὸς γνώσει] 'You will judge for yourself,' i. e. 'that is your affair, not mine.' So Phileb. 12 A, ἐμοὶ μὲν πάντως νικᾶν ἡδονὴ δοκεῖ καὶ δόξει, σὺ δ', ὦ Πρώταρχε, αὐτὸς γνώσει. Olymp., εἴ τι θέλεις ποίει, ἐμοὶ γὰρ οὐ μέλει.

D. Ἀλλ' οὐδὲ τοὺς μύθους] 'Nay, they tell us we ought not to leave even tales half told, but ought first to fit them with a head, that our story may not walk abroad headless.' ἀκέφαλος μῦθος, a story 'without head or tail,' is a proverbial expression. So in the Laws, 752 A, quoted by Routh, οὔκουν δή που λέγων γε ἂν μῦθον ἀκέφαλον ἑκὼν καταλίποιμι· πλανώμενος γὰρ ἂν ἁπάντῃ τοιοῦτος ὢν ἄμορφος φαίνοιτο. Compare Phaedr. 264, δεῖν πάντα λόγον ὥσπερ ζῷον συνεστάναι . . . ὥστε μήτ' ἀκέφαλον εἶναι μήτε ἄπουν κ.τ.λ. Phileb. 66 D, οὐδὲν λοιπὸν πλὴν ὥσπερ κεφαλὴν ἀποδοῦναι τοῖς εἰρημένοις.

μεταξὺ—καταλείπειν] Isocr. varies the phrase, Panath. § 27, ἀμελήσαντι τούτων καὶ μεταξὺ καταβαλόντι.

λῆς περιίῃ. ἀπόκριναι οὖν καὶ τὰ λοιπά, ἵνα ἡμῖν ὁ λόγος κεφαλὴν λάβῃ.

LXI. ΚΑΛ. Ὡς βίαιος εἶ, ὦ Σώκρατες. ἐὰν δὲ ἐμοὶ πείθῃ, ἐάσεις χαίρειν τοῦτον τὸν λόγον ἢ καὶ ἄλλῳ τῳ διαλέξει.

ΣΩ. Τίς οὖν ἄλλος ἐθέλει; μὴ γάρ τοι ἀτελῆ γε τὸν λόγον καταλίπωμεν.

ΚΑΛ. Αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον, ἢ λέγων κατὰ σαυτὸν ἢ ἀποκρινόμενος σαυτῷ;

ΣΩ. Ἵνα μοι τὸ τοῦ Ἐπιχάρμου γένηται, ἃ πρὸ τοῦ Ε δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς γένωμαι. ἀτὰρ κινδυνεύει ἀναγκαιότατον εἶναι οὕτως. εἰ μέντοι ποιήσομεν, οἶμαι ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς τί ἐστι περὶ ὧν λέγομεν καὶ τί ψεῦδος· κοινὸν γὰρ ἀγαθὸν ἅπασι φανερὸν γενέσθαι αὐτό. δίειμι μὲν οὖν τῷ λόγῳ ἐγὼ ὡς ἄν μοι δοκῇ ἔχειν· | ἐὰν 506
δέ τῳ ὑμῶν μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν. οὐδὲ γάρ τοι ἔγωγε εἰδὼς λέγω ἃ λέγω, ἀλλὰ ζητῶ κοινῇ μεθ' ὑμῶν, ὥστε, ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοί, ἐγὼ πρῶτος συγχωρήσομαι. λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπεραν-θῆναι τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν καὶ ἀπίωμεν.

ΓΟΡ. Ἀλλ' ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σώκρατες, χρῆναί πω ἀπιέναι, ἀλλὰ διεξελθεῖν σε τὸν λόγον· φαίνεται δέ Β μοι καὶ τοῖς ἄλλοις δοκεῖν. βούλομαι γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαί σου αὐτοῦ διιόντος τὰ ἐπίλοιπα.

E. τὸ τοῦ Ἐπιχάρμου] We have the line in full, Athen. vii. 308 C, ἐγὼ δὲ κατὰ τὸν σοφὸν Ἐπίχαρμον, μηδὲν ἀποκριναμένου τοῦ κυνός, Τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον εἷς ἐγὼν ἀποχρέω—where it may be well to mention that κύων is not a quadruped brought on the stage by Epicharmus, but the Cynic Cynulcus, who is one of Athenaeus' Deipnosophists. Of the original purport of the line the account given by the Schol. is palpably an improvisation. The comedies attributed to Epicharmus contained philosophical dialogues, specimens of which have been preserved to us; and the line in question was possibly the first of a soliloquy immediately succeeding one of such discussions. The change of ἀποχρέω into an Attic equivalent is agreeable to Plato's frequent practice, as remarked on supra, 485 E.

506. ἄν τι φαίνηται] If there be any thing in the objections of his opponent, says Socr., he will be the first to concede the point in dispute. For, as he has already informed the company, he is one of those τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων εἴ τι μὴ ἀληθὲς λέγοι, p. 458.

ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Γοργία, καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου· ἐπειδὴ δὲ σύ, ὦ Καλλίκλεις, οὐκ ἐθέλεις συνδιαπεραῖναι τὸν λόγον, ἀλλ' οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι
C δοκῶ μὴ καλῶς λέγειν. καί με ἐὰν ἐξελέγξῃς, οὐκ ἀχθέσομαί σοι ὥσπερ σὺ ἐμοί, ἀλλὰ μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψει.

ΚΑΛ. Λέγε, ὦ 'γαθέ, αὐτὸς καὶ πέραινε.

LXII. ΣΩ. Ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον. Ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν τὸ αὐτό ἐστιν; Οὐ ταὐτόν, ὡς ἐγὼ καὶ Καλλικλῆς ὡμολογήσαμεν. Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον, ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος; Τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ. Ἡδὺ δέ
D ἐστι τοῦτο οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δὲ οὗ παρόντος ἀγαθοί ἐσμεν; Πάνυ γε. Ἀλλὰ μὴν ἀγαθοί γέ ἐσμεν καὶ ἡμεῖς καὶ τἆλλα πάντα ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινὸς παραγενομένης; Ἔμοιγε δοκεῖ ἀναγκαῖον εἶναι, ὦ Καλλίκλεις. Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου, καὶ σκεύους καὶ σώματος καὶ ψυχῆς αὖ καὶ ζώου παντός, οὐχ οὕτως εἰκῇ κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθό-

B. *τὴν τοῦ Ἀμφίονος*] 'The speech of Zethus' is of course the plea for public and active as distinguished from the contemplative life—*ὁ ἐν φιλοσοφίᾳ βίος*, sup. 485 E. Socr. had already in some measure answered the arguments of Callicles, but his answer is not yet complete. He has still much to explain: in particular the causes which make it impossible for a righteous man to take part in the administration of an unrighteous polity, such as he considers the Athenian to be. Here *ἀπέδωκα* has its proper sense of paying a debt; giving an equivalent for value received. Presently *ἥτις ἑκάστῳ ἀποδέδοται* = 'which is the due of each,' in other words that which is appropriate, or suitable to the nature of any given subject.

C. *οὐκ ἀχθέσομαι*] The MSS., followed by all the edd. except Hirschig, give the form *ἀχθεσθήσομαι*, which is elsewhere substituted by copyists for the Attic *ἀχθέσομαι*. So in Rep. X. 603 E, where *ἀχθέσομαι* is now universally adopted.

D. *Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετή*] This passage, most important as determining the scope of the entire dialogue, has already been illustrated in the Prolegomena, p. viii. Those who delight in parallelisms of ancient and modern authors, will do well to compare Bp. Butler's justly celebrated Preface to his Sermons. The "ground-idea" of his ethical system will be seen to be rather Platonic than, as he himself supposed, Stoical. The 'conformity to nature' of the Stoics, though he borrows the phrase, was something different from Butler's.

οὐχ οὕτως εἰκῇ] 'not by mere haphazard.' So Alc. ii. 143 B, *οὕτως εἰκῇ ψέγειν*. Ib. D. The Zürich reading *οὐ τῷ εἰκῇ*, founded on some MSS., is also admissible. Phileb. 28 D, *τὴν τοῦ ἀλόγου καὶ εἰκῇ δύναμιν*. Tim. 34 C, *μετέχοντες τοῦ προστυχόντος καὶ εἰκῇ*. One cod. has *οὕτοι*, and so the 2nd Zür. ed. But *οὕτως* is preserved in the Bodl., which however, with others, omits *οὐχ*. The following *κάλλιστα* is bracketed by

τητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν. ἆρα ἔστι ταῦτα; Ἐγὼ μὲν γάρ φημι. Τάξει ἄρα τεταγμένον καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου; Φαίην ἂν ἔγωγε. E Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων; Ἔμοιγε δοκεῖ. Καὶ ψυχὴ ἄρα κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου; Ἀνάγκη. Ἀλλὰ μὴν ἥ γε κόσμον ἔχουσα κοσμία; Πῶς γὰρ οὐ μέλλει; Ἡ δέ γε κοσμία σώφρων; | Πολλὴ ἀνάγκη. Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή. Ἐγὼ 507 μὲν οὐκ ἔχω παρὰ ταῦτα ἄλλα φάναι, ὦ φίλε Καλλίκλεις· σὺ δ' εἰ ἔχεις, δίδασκε.

ΚΑΛ. Λέγ', ὦ 'γαθέ.

ΣΩ. Λέγω δὴ ὅτι, εἰ ἡ σώφρων ἀγαθή ἐστιν, ἡ τοὐ-

Hirschig, but is certainly no interpolation. For, to say nothing of the possibility of the body's attaining health by the operation of natural causes, Plato in many passages admits the idea of a spontaneous virtue in the soul bearing the same relation to the conscious virtue of the philosopher as in the region of the intellect subsists between *ὀρθὴ δόξα* and *ἐπιστήμη*. Thus in the Phaedo he speaks of *οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελετῆς γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ*, 82 A. The distinction is also brought out in the Laws, i. p. 642 C, where he allows the existence of a natural goodness, produced *αὐτοφυῶς θείᾳ μοίρᾳ*. Compare also a remarkable passage in the Meno, 99 B—D. The qualification is therefore introduced purposely, though for obvious reasons not dwelt on.

E. *Κόσμος—ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων*] This idea is worked out with greater completeness in the Philebus, where the absolute good is found to reside *περὶ μέτρον καὶ τὸ μέτριον καὶ καίριον*, and to manifest itself in *τὸ σύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανόν*, p. 66 A.

507. *Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή*] This passage, taken together with the context, clearly identifies *σωφροσύνη* with *ἡ σύμπασα ἀρετή*. 'Temperance' is that capital virtue which includes all others, as courage, justice, and piety. It is, in a word, the right state of the soul, in which all the parts of our complex nature are kept in due subordination, and so organized as to form a harmonious whole. This pre-eminence, as is well known, is in the Republic assigned to *δικαιοσύνη*, the sister virtue; Sophrosyne being there relegated to a subordinate province in the moral economy. But if this theory is less mature than that in the Republic, it is an advance upon the speculations pursued in the Charmides, where Socr. is made to arrive at the merely negative conclusion that *σωφροσύνη* is *not* a mode of *ἐπιστήμη*. This has been taken to prove that when he wrote the Charmides Plato was dissatisfied with the Socratic definitions of the virtues, and was feeling his way to some more satisfactory theory: a state of mind of which, in my opinion, there are indications in the Protagoras, at the end of which dialogue Socrates stands self-convicted of inconsistency.

εἰ ἡ σώφρων ἀγαθή] 'If the temperate soul is (eo nomine) good, the soul which is in a condition directly opposed to temperance is evil. But this, as we have seen, is none other than the insensate and dissolute soul.' We cannot in Eng. give the antithesis between *σώφρων* and *ἄφρων*, which even in Greek is a false one, for the true antitheta are *ἄφρων* and *ἔμφρων*. The force of the imp. *ἦν* is nearly the same as in the familiar formula *τὸ δ' ἦν ἄρα*, but it retains more of its past signification. In later writers the past sense seems to disappear, and *ἦν* is used for *ἐστί* in general propositions. Hence we may explain the Aristotelian formula *τὸ τί ἦν εἶναι*.

ναντίον τῇ σώφρονι πεπονθυῖα κακή ἐστιν. ἦν δὲ αὖτη ἡ ἄφρων τε καὶ ἀκόλαστος; Πάνυ γε. Καὶ μὴν ὅ γε σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους; οὐ γὰρ ἂν σωφρονοίη τὰ μὴ προσήκοντα
B πράττων; Ἀνάγκη ταῦτ' εἶναι οὕτως. Καὶ μὴν περὶ μὲν ἀνθρώπους τὰ προσήκοντα πράττων δίκαι' ἂν πράττοι, περὶ δὲ θεοὺς ὅσια· τὸν δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον εἶναι; Ἔστι ταῦτα. Καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη; οὐ γὰρ δὴ σώφρονος ἀνδρός

Καὶ μὴν ὅ γε σώφρων] This introduces an idea quite foreign to our notion of 'temperance.' The *σώφρων*, the man of orderly well-regulated mind, will not be content with abstaining from evil: he will be inclined to the performance of all positive duties both towards men and towards gods. *σωφροσύνη* is thus seen to include conscientiousness, an idea which associates itself much more naturally with *δικαιοσύνη*. The theory of Duties, it may be observed, which fills so large a proportion of our modern treatises, is very slightly touched by Plato and Aristotle. The scholion of Olympiodorus on this passage, though evidently much blundered by the student who took it down, is curious and worth quoting: *ὁ σώφρων καὶ δίκαιός ἐστι καὶ ἀνδρεῖος· ὁ γὰρ ὑποτάττων τὰ χείρονα τοῖς κρείττοσι καὶ μὴ ἐῶν ἡττᾶσθαι τὸν λόγον ὑπὸ τοῦ θυμοῦ* (read *τῆς ἐπιθυμίας*, coll. Rep. iv. 430 E), *οὗτος ἀνδρεῖός ἐστιν. ἡ δὲ δικαιοσύνη ἔχει καὶ τὸ ὅσιον, θεῷ γὰρ ἀρέσκει ὁ τοιοῦτος.* "Thus," he continues, "the different virtues are concurrent (*συντρέχουσιν ἀλλήλαις*), and we are enabled to solve the well-known *ἀπορία* with regard to divine providence: viz. that if virtue is sufficient for happiness (for *αὐτάρκης ἡ εὐδαιμονία πρὸς ἀρετήν* read *αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν*), virtuous people ought not to offer prayers and supplications to heaven, but rather to acquiesce in their lot. To this we reply, that the *σώφρων*, as before remarked, desires to acquaint himself with the higher powers and to give them pre-eminence: for this is a duty of piety, and hence we are bound to pray. For prayer is a sign that we know the higher powers and invoke their aid. So that prayer, through its being pious, is included even in the list of moral virtues." *ὁσιότης*, it will be remembered, is added by Protagoras to the received list of cardinal virtues, Protag. p. 329 C.

οὐ γὰρ ἂν σωφρονοίη] 'He would not deserve to be called temperate if he did what he had no business to do.' This is, to say the least, a very popular kind of reasoning, and scarcely equal to sustain the conclusion that the *σώφρων, qua σώφρων*, will perform all his duties—all the things that concern him. If Socr. had said *μὴ τὰ προσήκοντα πράττων*, the syllogism would have been good, though the premiss might seem doubtful. But the parallelism between the *σώφρ.* of this passage and the *δίκαιος* of the Republic is kept up. For the *δίκαιος* also is one *ὃς τὰ αὑτοῦ πράττει*, Rep. p. 433 B. In the immediate sequel all the special virtues are subordinated to *σωφροσύνη*, as in the Rep. to *δικαιοσύνη*. Plato must have felt that none of the popular terms were quite adequate to express his own more comprehensive idea of Virtue as a state or constitution of the inner man. For it must be owned that some of the functions of *δικαιοσύνη*, as described in the larger dialogue, are more appropriate to the sister virtue; and the truth may be that in each case he has selected the one which best served his immediate purpose. This union of *εὐχέρεια* in the use of terms with elaborate clearness in the elucidation of ideas is characteristic of the author. See Theaet. 184 B, *τὸ δ' εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον.* There is a palpable sneer at Plato in Isocrates, Encom. Helenae init., as one who *καταγεγήρακε διεξιὼν ὡς ἀνδρία καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι, καὶ . . . μία ἐπιστήμη καθ' ἁπάντων ἐστίν.*

B. *οὐ γὰρ δὴ σώφρονος—φεύγειν ἃ μὴ προσήκει*] Hence the *δειλός* is one

ἐστιν οὔτε διώκειν οὔτε φεύγειν ἃ μὴ προσήκει, ἀλλ' ἃ δεῖ καὶ πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας φεύγειν καὶ διώκειν, καὶ ὑπομένοντα καρτερεῖν ὅπου δεῖ. ὥστε πολλὴ ἀνάγκη, ὦ Καλλίκλεις, τὸν σώφρονα, ὥσπερ C διηλθομεν, δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον ἀγαθὸν ἄνδρα εἶναι τελέως, τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν πράττῃ, τὸν δ' εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι, τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα ἄθλιον. οὗτος δ' ἂν εἴη ὁ ἐναντίως ἔχων τῷ σώφρονι, ὁ ἀκόλαστος, ὃν σὺ ἐπῄνεις.

LXIII. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθεμαι καί φημι ταῦτα ἀληθῆ εἶναι. εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν, εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ D ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. οὗτος ἔμοιγε δοκεῖ ὁ σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς

ὃς τὰ μὴ προσήκοντα φεύγει τε καὶ διώκει. The old Socratic definition would rather be, ὃς οὐκ οἶδεν οὔθ' ἃ διωκτέον ἐστὶν οὔθ' ἃ φευκτέον. Plato's includes both the knowledge and the disposition (the ἦθος as well as the ἐπιστήμη), and is therefore more true to nature.

C. τὸν δ' εὖ πράττοντα μακάριον] This, which seems a sophism founded on the double sense of εὖ πράττειν, is in fact a cherished paradox. It was a point of honour with the Platonists to preface their letters with the salutation εὖ πράττειν instead of the more usual χαίρειν. Ep. iii. init., Πλάτων Διονυσίῳ χαίρειν ἐπιστείλας ἆρ' ὀρθῶς ἂν τυγχάνοιμι τῆς βελτίστης προσρήσεως; ἢ μᾶλλον κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν, κ.τ.λ. Comp. Charm. p. 172 A, ὀρθότητος δὲ ἡγουμένης ἐν πάσῃ πράξει ἀναγκαῖον καλῶς καὶ εὖ πράττειν τοὺς οὕτω διακειμένους, τοὺς δ' εὖ πράττοντας εὐδαίμονας εἶναι. So Alc. i. 116 B, ὅστις καλῶς πράττει οὐχὶ καὶ εὖ πράττει; We find a similar ambiguity in Arist. Eth. N. vi. 2. 5.

D. οὗτος ἔμοιγε] 'This, as I think, is the mark on which we should fix our gaze through life; to that we should bend all our powers and all the powers of the state, and so act that Justice and Temperance shall be our portion, as they must be if we would be truly blest.' The οὕτω πράττειν is illustrated by Phaedr. 253 B, ἀλλ' εἰς ὁμοιότητα αὐτοῖς καὶ τῷ θεῷ ὃν ἂν τιμῶσι, πᾶσαν πάντως ὅ τι μάλιστα πειρώμενοι ἄγειν οὕτω ποιοῦσιν (equiv. to οὕτω ποιοῦσιν ὥστε ἄγειν). Phaedr. 67 E, γελοῖον ἂν εἴη ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι οὕτω ζῆν (= οὕτω ζῆν ὥστε εἶναι). Presently ἀνήνυτον κακόν (an evil of which there is no end —a sort of 'vicious circle') is intended to recall the simile of the Danaids with their sieve, p. 493. Ast quotes Legg. iv. 714 A, ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυμιῶν ὀρεγομένην καὶ πληροῦσθαι τούτων δεομένην, στέγουσαν δὲ οὐδέν, ἀλλ' ἀνηνύτῳ καὶ ἀπλήστῳ κακῷ . . . ξυνεχομένην. The 'brigand's life' is explained in the immediate sequel as that of one who by his excesses cuts himself off from communion with gods and men, as an outlaw does. Olymp., λῃστοῦ δὲ βίον ζῇ ἐπειδὴ . . . τῶν ἀλλοτρίων ἐρᾷ· ἐπέρχεται οὖν καὶ γυναιξὶ καὶ χρήμασι, λάθρα δὲ ταῦτα ποιεῖ ὥσπερ λῃστής.

τοῦτο καὶ τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιοσύνη παρέσται καὶ σωφροσύνη τῷ μακαρίῳ μέλ-
E λοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταύτας ἐπιχειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον ζῶντα. οὔτε γὰρ ἂν ἄλλῳ ἀνθρώπῳ προσφιλὴς ἂν εἴη ὁ τοιοῦτος οὔτε θεῷ· κοινωνεῖν γὰρ ἀδύνατος· ὅτῳ δὲ μὴ ἔνι κοινωνία, φιλία οὐκ ἂν εἴη. φασὶ δ' οἱ σοφοί, ὦ Καλλίκλεις, καὶ οὐρανὸν καὶ γῆν καὶ
508 θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν | συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, ὦ ἑταῖρε, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις, καὶ ταῦτα σοφὸς ὤν, ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται. σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν· γεωμετρίας γὰρ ἀμελεῖς. Εἶεν· ἢ ἐξελεγκτέος δὴ οὗτος ὁ λόγος ἡμῖν
B ἐστίν, ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ ἄθλιοι οἱ ἄθλιοι· ἢ εἰ οὗτος

E. *οἱ σοφοί*] According to Olymp. the Pythagoreans, and Empedocles, who said *τὴν φιλίαν ἐνοῦν τὸν σφαῖρον*. Comp. Emped. v. 94, Karst., Ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα, Ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει, with ibid. v. 59, Οὕτως ἁρμονίης πυκινῷ κρύφῳ ἑστήρικται Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων. In the semi-Pythagorean system of Empedocles, Φιλία, φιλότης, Ἀφροδίτη represented the conservative principle of the universe (*τὸ ὅλον, σφαῖρος*), as Νεῖκος stood for the principle of change and dissolution. See Cic. de Amic. vii. The Pythagoreans, according to ancient tradition, first called the universe Κόσμος, and the word in that sense occurs in a frag. attributed to Philolaus ap. Stob. Ecl. Phys. p. 420, *ἧς ὧδε ὁ κόσμος ἐξ αἰῶνος*.

508. *ἡ ἰσότης ἡ γεωμετρική*] This 'geometric,' as distinguished from mere arithmetical equality ($\alpha = \beta$), is what we call Equality of Ratio or Proportion ($\alpha : \beta :: \gamma : \delta$). Aristotle, in a well-known passage of the Nic. Ethics, defines "distributive justice" as the rendering to each citizen according to his merits, adding, *ἔστιν ἄρα τὸ δίκαιον ἀνάλογόν τι . . . καλοῦσι δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ μαθηματικοί, ἐν γὰρ τῇ γεωμετρικῇ συμβαίνει καὶ τὸ ὅλον πρὸς τὸ ὅλον ὅπερ ἑκάτερον πρὸς ἑκάτερον*, B. v. 3, 8. So Olymp., *ἰστέον ὅτι τρεῖς εἰσιν ἰσότητες, γεωμετρική, ἀριθμητική, ἁρμονική. καὶ ἡ μὲν γεωμετρικὴ ἰσότης ἐστίν, ὅταν ἀναλογία φυλάττηται . . . ἰστέον δὲ ὅτι ἡ μὲν γεωμετρία πρὸς διανομὰς συμβάλλεται . . . καὶ γὰρ στρατηγὸς λάφυρα διανέμων στρατιώταις οὐ πᾶσι τὸ αὐτὸ παρέχει . . . καὶ ὁ ποιητὴς γοῦν φησιν· Ἔσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηα δὲ χείρονι δόσκεν* (Il. xiv. 382). The idea is fully developed in the Laws, p. 757, where the legislator is taught to distinguish between simple and proportional equality, and to enforce the latter—*τὴν δ' ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ δὴ κρίσις ἐστίν— τῷ μὲν γὰρ μείζονι πλείω τῷ δὲ ἐλάττονι σμικρότερα νέμει . . . ἔστι γὰρ δή που καὶ τὸ πολιτικὸν ἡμῖν ἀεὶ τοῦτ' αὐτὸ τὸ δίκαιον*. Following this rule, Lycurgus, according to Plutarch, "expelled from Lacedaemon arithmetical equality, holding it to be democratic and levelling in principle, and introduced the geometric, as best suited to a temperate oligarchy and monarchy." Mor. p. 719 B.

ἀληθής ἐστι, σκεπτέον τί τα συμβαίνοντα. τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, συμβαίνει πάντα, ἐφ' οἷς σύ με ἤρου εἰ σπουδάζων λέγοιμι, λέγοντα ὅτι κατηγορητέον εἴη καὶ αὐτοῦ καὶ υἱέος καὶ ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο χρηστέον. καὶ ἃ Πῶλον αἰσχύνῃ ᾠου συγχωρεῖν, ἀληθῆ ἄρα ἦν, τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ὅσῳπερ αἴσχιον, τοσούτῳ κάκιον· καὶ τὸν C μέλλοντα ὀρθῶς ῥητορικὸν ἔσεσθαι δίκαιον ἄρα δεῖ εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων, ὃ αὖ Γοργίαν ἔφη Πῶλος δι' αἰσχύνην ὁμολογῆσαι.

LXIV. Τούτων δὲ οὕτως ἐχόντων, σκεψώμεθα τί ποτ' ἐστὶν ἃ σὺ ἐμοὶ ὀνειδίζεις, ἆρα καλῶς λέγεται ἢ οὔ, ὡς ἄρα ἐγὼ οὐχ οἷός τ' εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ οὔτε τῶν φίλων οὐδενὶ οὐδὲ τῶν οἰκείων, οὐδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων, εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος, ἄν τε τύπτειν βούληται, τὸ D νεανικὸν δὴ τοῦτο τοῦ σοῦ λόγου, ἐπὶ κόρρης, ἐάν τε χρήματα ἀφαιρεῖσθαι, ἐάν τε ἐκβάλλειν ἐκ τῆς πόλεως, ἐάν τε, τὸ ἔσχατον, ἀποκτεῖναι· καὶ οὕτω διακεῖσθαι πάντων δὴ αἴσχιστόν ἐστιν, ὡς ὁ σὸς λόγος. ὁ δὲ δὴ ἐμός, ὅστις πολλάκις μὲν ἤδη εἴρηται, οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι· οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόρ-

B. τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι] Among the impugners of this splendid paradox is Aristides Rhet., whose spirited but wordy tirade is to be found, T. iii. p. 103, ed. Cant. In his Epist. ad Capitonem (ibid. p. 533) he produces with great glee a passage from the Laws (829 A) which he conceives to be inconsistent with the doctrine laid down in the Gorgias.

C. καὶ τὸν μέλλοντα] This passage is quoted with approbation by Quintilian, ii. 15, 28.

ἃ σὺ ἐμοὶ ὀνειδίζεις] He refers to the warning of Callicles, p. 486. Presently, in εἰμὶ δ' ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος, Hirsch. brackets τοῦ ἐθέλοντος as an interpolation. But the pleonasm is surely not unexampled. The two phrases mean of course the same thing—I am at the mercy, or in the power of any one who chooses to molest me, just as an outlaw is at the mercy of the first comer—τοὐπιόντος. Heind. quotes Legg. iv. 707 E, πότερον ἐξ ἁπάσης Κρήτης ὁ ἐθέλων . . . οὐ γάρ που τὸν βουλόμενόν γε Ἑλλήνων συνάγετε: and Stallb. a passage from Xen. Anab. i. 4, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ. Add Rep. v. 460 A, τὸ πλῆθος τῶν γάμων ἐπὶ τοῖς ἄρχουσι ποιήσομεν.

D. τὸ νεανικὸν δὴ τοῦτο] 'To quote that spirited phrase of yours.' Callicles had apologized for the roughness of the expression: εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόρρης τύπτοντά σε κ.τ.λ., p. 486 C, where see the note. Socr. softens down the ἄγροικον of Callicles into νεανικόν, 'bold,' 'smart.' In apologizing for the vigour of his own language, he presently adopts the stronger epithet ἀγροικότερον, inf. 509 A. νεανικόν is one of those epithets which may imply either praise or censure; and on that account commends itself to an εἴρων such as Socr. was.

ῥης ἀδίκως αἴσχιστον εἶναι, οὐδέ γε τὸ τέμνεσθαι οὔτε
E τὸ σῶμα τὸ ἐμὸν οὔτε τὸ βαλλάντιον, ἀλλὰ τὸ τύπτειν
καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως καὶ τέμνειν καὶ αἴσχιον καὶ
κάκιον, καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδίζεσθαι καὶ
τοιχωρυχεῖν καὶ συλλήβδην ὁτιοῦν ἀδικεῖν καὶ ἐμὲ καὶ τὰ
ἐμὰ τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι ἢ ἐμοὶ τῷ
ἀδικουμένῳ. ταῦτα ἡμῖν ἄνω ἐκεῖ ἐν τοῖς πρόσθε λόγοις
509 οὕτω φανέντα, ὡς ἐγὼ λέγω, κατέχεται καὶ δέδεται, | καὶ
εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστί, σιδηροῖς καὶ ἀδαμαντίνοις
λόγοις, ὡς γοῦν ἂν δόξειεν οὑτωσίν, οὓς σὺ εἰ μὴ λύσεις
ἢ σοῦ τις νεανικώτερος, οὐχ οἷόν τε ἄλλως λέγοντα ἢ ὡς
ἐγὼ νῦν λέγω καλῶς λέγειν· ἐπεὶ ἔμοιγε ὁ αὐτὸς λόγος
ἐστὶν ἀεί, ὅτι ἐγὼ ταῦτα οὐκ οἶδα ὅπως ἔχει, ὅτι μέντοι
ὧν ἐγὼ ἐντετύχηκα, ὥσπερ νῦν, οὐδεὶς οἷός τ' ἐστὶν ἄλ-
λως λέγων μὴ οὐ καταγέλαστος εἶναι. ἐγὼ μὲν οὖν αὖ
τίθημι ταῦτα οὕτως ἔχειν. εἰ δὲ οὕτως ἔχει καὶ μέγιστον
B τῶν κακῶν ἐστὶν ἡ ἀδικία τῷ ἀδικοῦντι καὶ ἔτι τούτου
μεῖζον μεγίστου ὄντος, εἰ οἷόν τε, τὸ ἀδικοῦντα μὴ διδόναι
δίκην, τίνα ἂν βοήθειαν μὴ δυνάμενος ἄνθρωπος βοηθεῖν
ἑαυτῷ καταγέλαστος ἂν τῇ ἀληθείᾳ εἴη; ἆρ' οὐ ταύτην
ἥτις ἀποτρέψει τὴν μεγίστην ἡμῶν βλάβην; ἀλλὰ πολλὴ
ἀνάγκη ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν μὴ δύνασθαι

E. *ταῦτα ἡμῖν ἄνω*] 'These statements, which were before shown in the course of our past discussion to be as I say, are, however uncouth the expression may sound (however harsh the metaphor), held firmly and tied fast by a chain of argument strong as iron or as adamant.' The expression *ἄνω ἐκεῖ* could not have been introduced by way of gloss upon the more usual *ἐν τοῖς πρόσθε λόγοις*, as Hirsch., who brackets them, would seem to imagine. The conclusion Socr. has just drawn (*ἐνθάδε*) had been shown *ἐκεῖ*, in another place, farther back in the discussion, to follow from the premisses. It is conceivable that *ἐν τ. πρ. λ.* may have been added as a marginal explanation of *ἄνω ἐκεῖ*, as *ἔμπροσθεν* occasionally appears after *νῦν δή* when it is not wanted: but on this I do not insist, as the redundancy is not without its rhetorical effect in the present instance. *πρόσθε* for the vulg. *πρόσθεν* occurs in the Bodl., and is retained by Bekk. and Hirsch., though condemned as un-Attic by Lobeck, Phryn. p. 284. The constant occurrence of *πρόσθε* in the comic poets, in places where the metre forbids *πρόσθεν*, makes it unlikely that it would grate on Athenian ears when occurring in prose.

509. *ὡς γοῦν ἂν δόξειεν οὑτωσίν*] 'as would seem, at any rate on a *primâ facie* view:' that is, unless proved to be otherwise.

B. *πολλὴ ἀνάγκη ταύτην*] 'It cannot fail but that this is the power it is most shameful to be without—the power of rendering aid' &c. *ταύτην ἐ. τῆν αἰσχίσ. βοήθ.* is put by 'attraction' for *τοῦτο εἶναι αἴσχιστον, μὴ δύνασθαι βοηθεῖν*. Properly it is not the *βοήθεια* but its absence which is disgraceful—*ἡ αἰσχίστη ἀδυναμία τοῦ βοηθεῖν*, as Heind. puts it. The most disgraceful form of helplessness is, not to be able, after wrong done,

βοηθεῖν μήτε αὑτῷ μήτε τοῖς αὑτοῦ φίλοις τε καὶ οἰκείοις, δευτέραν δὲ τὴν τοῦ δευτέρου κακοῦ καὶ τρίτην τὴν τοῦ C τρίτου καὶ τἆλλα οὕτως, ὡς ἑκάστου κακοῦ μέγεθος πέφυκεν, οὕτω καὶ κάλλος τοῦ δυνατὸν εἶναι ἐφ' ἕκαστα βοηθεῖν καὶ αἰσχύνη τοῦ μή. ἆρα ἄλλως ἢ οὕτως ἔχει, ὦ Καλλίκλεις;

ΚΑΛ. Οὐκ ἄλλως.

LXV. ΣΩ. Δυοῖν οὖν ὄντοιν, τοῦ ἀδικεῖν τε καὶ ἀδικεῖσθαι, μεῖζον μέν φαμεν κακὸν τὸ ἀδικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι. τί οὖν ἂν παρασκευασάμενος ἄνθρωπος βοηθήσειεν αὑτῷ, ὥστε ἀμφοτέρας τὰς ὠφελείας ταύτας ἔχειν, τήν τε ἀπὸ τοῦ μὴ ἀδικεῖν καὶ τὴν ἀπὸ τοῦ μὴ D ἀδικεῖσθαι; πότερα δύναμιν ἢ βούλησιν; ὧδε δὲ λέγω· πότερον ἐὰν μὴ βούληται ἀδικεῖσθαι, οὐκ ἀδικήσεται, ἢ ἐὰν δύναμιν παρασκευάσηται τοῦ μὴ ἀδικεῖσθαι, οὐκ ἀδικήσεται;

to render oneself up to justice: the second, not to be able to preserve oneself from doing wrong: the third, to be unable to defend self or friends from wrong done by others. This paradox of course must rest on the principle that punishment, and nothing besides punishment, has a medicinal effect upon the offender: which being granted, it follows that it is, if possible, worse for a man to 'continue in sin' by escaping punishment, than to sin in the first instance; and that if worse, it is more disgraceful. The fallacy seems to lie in the assumption that a man has no other means of purifying his soul from the taint of wickedness than that implied in the words *διδόναι δίκην*. For though *διδόναι δίκην* might admit the milder meaning of 'making amends' to the person injured, that is not Plato's meaning here. Again, it can by no means be conceded that the shame of not performing an act of heroic virtue is proportional to the glory of performing it, as the sequel would seem to imply. Shame and glory are rather in inverse than direct proportion in such cases: for it is never glorious to perform an act which it is very disgraceful to omit. No one, for instance, ever thought himself a hero for supporting his wife and family, or again, for abstaining from murder or theft. Nor does any stain rest on the Roman name, because Curtius alone dared to leap into the gulf. But the words *κακόν* and *ἀγαθόν*, as used in this argument, referred to the effect of a man's conduct on his spiritual nature, and this is a matter to which the consideration of judicial penalties is in reality irrelevant. Plato's reasoning involves the principle of punishment 'pro salute animae,' which he avows in more places than one, but nowhere perhaps so distinctly as in the Laws, viii. 862 D, E. The 'medicinal' nature of punishment is recognized also by Arist. Eth. N. ii. 3, 4, (*αἱ κολάσεις*) *ἰατρεῖαί τινές εἰσιν*.

C. *τί οὖν ἂν παρασκευασάμενος*] A new question is here started: wrong-doing and wrong-suffering being evils, and wrong-doing a greater evil than wrong-suffering, how is a man to procure himself the advantage of exemption from either? As regards the former it is argued that, inasmuch as no man does wrong willingly, his wrong-doing must be due to want of power, not to want of will to avoid it. He must therefore procure this power or art by instruction and exercise—by such discipline, we may suppose, as we find prescribed in the Republic. But to avoid suffering wrong there are but two methods possible: either a man must make himself absolute ruler in the state, or else he must make friends with those in power (inf. 510): and that can only be done by making himself like them (ibid. E). He who succeeds in doing this is safe; he who refuses is in jeopardy every hour.

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὅτι ἐὰν δύναμιν.

ΣΩ. Τί δὲ δὴ τοῦ ἀδικεῖν; πότερον ἐὰν μὴ βούληται ἀδικεῖν, ἱκανὸν τοῦτ' ἐστίν—οὐ γὰρ ἀδικήσει,—ἢ καὶ
E ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέχνην παρασκευάσασθαι, ὡς, ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκήσῃ, ἀδικήσει; Τί οὐκ αὐτό γέ μοι τοῦτο ἀπεκρίνω, ὦ Καλλίκλεις, πότερόν σοι δοκοῦμεν ὀρθῶς ἀναγκασθῆναι ὁμολογεῖν ἐν τοῖς ἔμπροσθεν λόγοις ἐγώ τε καὶ Πῶλος ἢ οὔ, ἡνίκα ὡμολογήσαμεν μηδένα βουλόμενον ἀδικεῖν, ἀλλ' ἄκοντας τοὺς ἀδικοῦντας πάντας ἀδικεῖν;

510 ΚΑΛ. Ἔστω σοι τοῦτο, ὦ Σώκρατες, οὕτως, | ἵνα διαπεράνῃ τὸν λόγον.

ΣΩ. Καὶ ἐπὶ τοῦτο ἄρα, ὡς ἔοικε, παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην, ὅπως μὴ ἀδικήσομεν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τίς οὖν ποτ' ἐστὶ τέχνη τῆς παρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι ἢ ὡς ὀλίγιστα; σκέψαι εἰ σοὶ δοκεῖ ἥπερ ἐμοί. ἐμοὶ μὲν γὰρ δοκεῖ ἥδε· ἢ αὐτὸν ἄρχειν δεῖν ἐν τῇ πόλει ἢ καὶ τυραννεῖν, ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι.

B ΚΑΛ. Ὁρᾷς, ὦ Σώκρατες, ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς; τοῦτό μοι δοκεῖς πάνυ καλῶς εἰρηκέναι.

LXVI. ΣΩ. Σκόπει δὴ καὶ τόδε ἐάν σοι δοκῶ εὖ λέγειν. φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μάλιστα, ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ. οὐ καὶ σοί;

E. *μηδένα βουλόμενον ἀδικεῖν*] Olymp., *ἐνταῦθα ἀναφαίνεται Πλατωνικὸν δόγμα, τὸ λέγον ὅτι πάντα τὰ ἁμαρτήματα ἀκούσιά ἐστιν . . . καὶ ἔστι παράδοξον.* The *ἀπορίαι* suggested by this paradox are discussed at length Legg. ix. 861 sqq.

510. *διαπεράνῃ*] The Bodl. and one other have *διαπερανῇ*. Edd. *διαπερανῇς*. The middle aor. is sufficiently common, and here, perhaps, better than the active.

Καὶ ἐπὶ τοῦτο — ὅπως μὴ ἀδικήσομεν] Codd. *ἀδικήσωμεν*, corr. Heind. The correction was indispensable. Such verbs as *ὁρᾶν, σκοπεῖν, παρασκευάζειν, μηχανᾶσθαι*, &c., are followed by *ὅπως* with the fut., not with the conj. The reason is obvious: *ὅπως* in such a context retains its original sense 'quomodo.' So inf. D, *παρασκευάζειν ὅπως ὅ τι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ*. 513 A, *ὅρα . . ὅπως μὴ πεισόμεθα*, where the codd. give the solecistic form *πεισώμεθα* (for *πάθωμεν*).

B. *οἱ παλαιοί τε καὶ σοφοί*] So in the Lysis this trite proverb is said to be found "in the writings of the very wise," who it would seem are *οἱ περὶ Ὅμηρον*. Od. xvii. 218, *ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον*. Aristotle gives a list of proverbs with this meaning. Rhet. i.

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ ἀπαίδευτος, εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη, φοβοῖτο δήπου ἂν αὐτὸν ὁ τύραννος καὶ τούτῳ ἐξ ἅπαντος C τοῦ νοῦ οὐκ ἄν ποτε δύναιτο φίλος γενέσθαι;

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐδέ γε εἴ τις πολὺ φαυλότερος εἴη, οὐδ' ἂν οὗτος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειεν.

ΚΑΛ. Καὶ ταῦτ' ἀληθῆ.

ΣΩ. Λείπεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ, ὃς ἂν ὁμοήθης ὤν, ταὐτὰ ψέγων καὶ ἐπαινῶν, ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι τῷ ἄρχοντι. οὗτος μέγα ἐν ταύτῃ τῇ πόλει δυνήσεται, τοῦτον οὐδεὶς χαίρων ἀδι- D κήσει. οὐχ οὕτως ἔχει;

ΚΑΛ. Ναί.

11. 25, *ὡς ἦλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὅμοιον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ ἀεὶ κολοιὸς παρὰ κολοιόν.* But 'birds' of this 'feather' are heard in all languages.

Οὐκοῦν ὅπου τύραννος] These words have been supposed to contain a covert allusion to a passage in Plato's private history; his sojourn at the court of Dionysius I., and its disastrous termination. If this is so, this dialogue must have been composed after B.C. 388. But the epithet *ἀπαίδευτος* is hardly applicable to a man of such literary accomplishments as the elder Dionysius, who is moreover credited with *σοφία* by Plato himself, and contrasted in that respect with his successor, Ep. vii. 332 C, D. And in any case the supposition is gratuitous: for Plato had enjoyed ample opportunities of acquainting himself with the characteristics of the *τύραννος* even before he left Athens. See the same Epistle, p. 324 D.

C. *καὶ τούτῳ ἐξ ἁ.*] 'And to him, the tyrant, he, the virtuous man, could never in his heart of hearts be a friend.' That there is this change of subject in the sentence appears from the next *ῥῆσις* of Socr., where the implied predicate to *οὗτος* is *οὐκ ἂν δύναιτο φ. γεν.* Parallel instances are accumulated by Heind. and Stallb., the latter referring to Liv. i. 50, "Ne id quidem ab Turno tulisse tacitum ferunt [sc. Tarquinium]; dixisse enim [h. e. Turnum] Nullam breviorem esse cognitionem" &c., where the student will find the notes in Drakenborch's ed. worth attention. In Greek a good instance is that in Rep. ii. p. 359 E, *τούτου δὲ γενομένου ἀφανῆ αὐτὸν γενέσθαι* (sc. *τὸν Γύγην*) *τοῖς παρακαθημένοις, καὶ διαλέγεσθαι ὡς περὶ οἰχομένου* (sc. *τοὺς παρακαθημένους*).

ὡς πρὸς φίλον σπουδάσειεν] As *σπουδή* denotes warmth, earnestness, *σπουδάζειν πρός τινα* (comp. Lat. 'studere alicui'), signifies esteem, affection, or attachment. In Rep. iii. 403 C, we find *πρὸς ὃν τις σπουδάζοι* said of the attachment of an *ἐραστής*. The tyrant might amuse himself in the society of a man worse than himself, but could never feel for him the esteem and affection due to a friend.

οὗτος μέγα—τοῦτον οὐδείς] So Persius, Sat. ii. 37, "*Hunc* optent generum rex et regina, puellae *Hunc* rapiant, quicquid calcaverit *hic* rosa fiat." Comp. the double *ἐκεῖνος* in Eur. Bacch. 243, *ἐκεῖνος εἶναί φησι Διόνυσον θεόν, Ἐκεῖνος ἐν μηρῷ ποτ' ἐρράφθαι Διός*, where the repetition implies contempt instead of honour. Presently *ταύτῃ τῇ πόλει* refers not to Athens, but to the *πόλις ὅπου τύραννός ἐστιν ἄρχων κ.τ.λ.* sup. B.

ΣΩ. Εἰ ἄρα τις ἐννοήσειεν ἐν ταύτῃ τῇ πόλει τῶν νέων, Τίνα ἂν τρόπον ἐγὼ μέγα δυναίμην καὶ μηδείς με ἀδικοίη, αὕτη, ὡς ἔοικεν, αὐτῷ ὁδός ἐστιν, εὐθὺς ἐκ νέου ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ, καὶ παρασκευάζειν ὅπως ὅ τι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ. οὐχ οὕτως;

ΚΑΛ. Ναί.

E ΣΩ. Οὐκοῦν τούτῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέγα δύνασθαι, ὡς ὁ ὑμέτερος λόγος, ἐν τῇ πόλει διαπεπράξεται.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν; ἢ πολλοῦ δεῖ, εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ καὶ παρὰ τούτῳ μέγα δυνήσεται; ἀλλ' οἶμαι ἔγωγε, πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ ἔσται αὐτῷ ἐπὶ τὸ οἷῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν καὶ ἀδικοῦντα μὴ διδόναι δίκην. ἦ γάρ;

ΚΑΛ. Φαίνεται.

511 | ΣΩ. Οὐκοῦν τὸ μέγιστον αὐτῷ κακὸν ὑπάρξει, μοχθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ διὰ τὴν μίμησιν τοῦ δεσπότου καὶ δύναμιν.

ΚΑΛ. Οὐκ οἶδ' ὅπῃ στρέφεις ἑκάστοτε τοὺς λόγους ἄνω καὶ κάτω, ὦ Σώκρατες. ἢ οὐκ οἶσθα ὅτι οὗτος ὁ

E. ὡς ὁ ὑμέτερος λόγος] 'As you and your friends would say.' This refers especially to μέγα δύνασθαι, which Socr. himself would of course refuse to predicate of the person described. Sup. 466 B, ἐλάχιστόν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες. But the general doctrine that in order to rise in a state it is necessary to share the spirit or ἦθος which animates such state was a commonplace both with philosophers and orators. So Demosth. c. Androt. p. 613 (§ 79), τὸν ὑπὲρ πόλεως πράττοντά τι δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι. Compare Timocr. p. 753, where the bright side of the Athenian ἦθος is exhibited. Isocr. Nicocl. 21 A, τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσιν, is the converse of the proposition.

διαπεπράξεται] 'will have been achieved:' i. e. after he has thus schooled himself into sympathy with the ruling powers, he, the aspirant just mentioned, will have attained to the much-coveted power and security from wrong. In the Laws, viii. 829, we read, τὸ μὲν (μὴ ἀδικεῖν) οὐ πάνυ χαλεπόν, τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον, καὶ οὐκ ἔστιν αὐτὸ τελέως σχεῖν ἄλλως ἢ τελέως γενόμενον ἀγαθόν. In the sequel of this passage the principle is applied to international relations, in a manner not uninteresting to the citizens of a non-intervening state.

οἷῳ τε εἶναι — καὶ ἀδικοῦντα] The change of case is justified by 492 B, ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς κ.τ.λ. Of the MSS., however, one gives οἷόν τε, and several ἀδικοῦντι. The same variation is found 525 B, ἢ βελτίονι γίγνεσθαι . . . ἢ παραδείγματι (al. παράδειγμα) τοῖς ἄλλοις γίγνεσθαι.

511. ἢ οὐκ οἶσθα ὅτι] 'or do you need to be told that our imitator will slay your non-imitator, if he have a mind, and will spoil his goods?' ὁ μιμούμενος is transitive, though foolishly supposed to

μιμούμενος τὸν μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται, καὶ ἀφαιρήσεται τὰ ὄντα;

ΣΩ. Οἶδα, ὦ 'γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' εἰμί, B καὶ σοῦ ἀκούων καὶ Πώλου ἄρτι πολλάκις καὶ τῶν ἄλλων ὀλίγου πάντων τῶν ἐν τῇ πόλει. ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀποκτενεῖ μέν, ἂν βούληται, ἀλλὰ πονηρὸς ὢν καλὸν κἀγαθὸν ὄντα.

ΚΑΛ. Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν;

ΣΩ. Οὐ νοῦν γε ἔχοντι, ὡς ὁ λόγος σημαίνει. ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον, ὡς πλεῖστον χρόνον ζῇν, καὶ μελετᾶν τὰς τέχνας ταύτας αἳ ἡμᾶς ἀεὶ ἐκ τῶν κινδύνων σώζουσιν, ὥσπερ καὶ ἣν σὺ κελεύεις ἐμὲ μελετᾶν C τὴν ῥητορικὴν τὴν ἐν τοῖς δικαστηρίοις διασώζουσαν;

ΚΑΛ. Ναὶ μὰ Δί' ὀρθῶς γέ σοι συμβουλεύων.

LXVII. ΣΩ. Τί δέ, ὦ βέλτιστε; ἦ καὶ ἡ τοῦ νεῶν ἐπιστήμη σεμνή τίς σοι δοκεῖ εἶναι;

ΚΑΛ. Μὰ Δί' οὐκ ἔμοιγε.

ΣΩ. Καὶ μὴν σώζει γε καὶ αὕτη ἐκ θανάτου τοὺς ἀνθρώπους, ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν οὗ δεῖ ταύτης τῆς ἐπιστήμης. εἰ δ' αὖτη σοι δοκεῖ σμικρὰ εἶναι, ἐγώ σοι μείζονα ταύτης ἐρῶ, τὴν κυβερνητικήν, ἣ οὐ μόνον D τὰς ψυχὰς σώζει ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα

be passive by Thomas Mag., in v. *μιμοῦμαι*, as if it referred to *τύραννος*—the person imitated. The imitator will have this power, *ἅτε μέγα δυνάμενος ἐν τῇ πόλει*.

B. *Οὐκοῦν τοῦτο δή*] Germ. Tr. "Ist nun nicht eben das das Empörende?" "And is not this the very thing that makes one so indignant?" viz. that a *μοχθηρός* should take the life of a *καλὸς κἀγαθός*? This is the sense required in order to give point to Socr.'s reply. The 'irrisio' which Ast and Stallb. discover is out of place here, for Callicles was quite earnest in the warning he addressed to Socr. Comp. 486 B, *κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ, ἀποθάνοις ἄν, εἰ βούλοιτο θανάτου σοι τιμᾶσθαι*.

ἢ οἴει δεῖν τοῦτο] Socr. proceeds to show, with an affectation of inductive reasoning, that if forensic rhetoric has the life-preserving power claimed for it, it does not therefore follow that it is a liberal or dignified art. Exaggerated as this may seem, Plato's deliberate convictions pointed this way. Thus in the Laws, his latest work, he says, "The union of soul and body is in no wise a better thing than their dissolution, as I should say, and that with perfect seriousness." And accordingly he enjoins that public honours be paid to Pluto every twelfth month, adding, *καὶ οὐ δυσχεραντέον πολεμικοῖς ἀνθρώποις τὸν τοιοῦτον θεόν, ἀλλὰ τιμητέον ὡς ὄντα ἀεὶ τῷ τῶν ἀνθρώπων γένει ἄριστον*, 828 C, D.

D. *οὐ μόνον τὰς ψυχὰς σώζει*] Olymp., *ψυχὰς νῦν καλεῖ τὰς ζωάς*. True, no doubt; but what becomes of the antithesis *ἀλλὰ καὶ τὰ σώματα*? This refers to the 'bodies' of other members of the passenger's family—*παῖδας καὶ γυναῖκας* named presently after. The pilot's art saves not only the lives of passengers,

ἐκ τῶν ἐσχάτων κινδύνων, ὥσπερ ἡ ῥητορική. καὶ αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία, καὶ οὐ σεμνύνεται ἐσχηματισμένη ὡς ὑπερήφανόν τι διαπραττομένη, ἀλλὰ ταὐτὰ διαπραξαμένη τῇ δικανικῇ, ἐὰν μὲν ἐξ Αἰγίνης δεῦρο σώσῃ, οἶμαι δύ' ὀβολοὺς ἐπράξατο, ἐὰν δὲ ἐξ Αἰγύπτου ἢ ἐκ τοῦ Πόντου, ἐὰν πάμπολυ ταύτης τῆς μεγάλης εὐ-
E εργεσίας, σώσασ' ἃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας, ἀποβιβάσασ' εἰς τὸν λιμένα δύο δραχμὰς ἐπράξατο, καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην καὶ ταῦτα διαπραξάμενος ἐκβὰς παρὰ τὴν θάλατταν καὶ τὴν ναῦν περιπατεῖ ἐν μετρίῳ σχήματι. λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται ὅτι ἄδηλόν ἐστιν οὕστινάς τε ὠφέληκε τῶν συμπλεόντων οὐκ ἐάσας καταποντωθῆναι καὶ οὕστινας ἔβλαψεν, εἰδὼς ὅτι οὐδὲν αὐτοὺς βελτίους ἐξεβίβασεν ἢ
512 οἷοι | ἐνέβησαν, οὔτε τὰ σώματα οὔτε τὰς ψυχάς. λογίζεται οὖν ὅτι οὐκ, εἰ μέν τις μεγάλοις καὶ ἀνιάτοις νοσή-

but the persons and chattels belonging to them.

προσεσταλμένη] Said properly of a close-fitting dress—vestis appressa corpori—or of skin or other integument which adheres tightly to the body. Galen, *προσστέλλεται τῷ χρωτὶ τὸ δέρμα*. Arist. Hist. An. 9, *θρὶξ προσεσταλμένη*. Hence in its applied sense *προσεστ.* = plain, humble, modest. *συνεσταλμένος* is used in nearly the same manner, as Isocr. p. 280 D, *συνεσταλμένην ἔχων τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας*. Opposed to *ὀγκώδης* or *ἐπαχθής*.

οὐ σεμνύνεται ἐσχηματισμένη] 'She does not plume herself on her performance, making believe that it is some dazzling achievement.' Tim. Gl., *σχηματιζόμενος, προσποιούμενος*. Phaedr. 255 A, *οὐχ ὑπὸ σχηματιζομένου τοῦ ἐρῶντος ἀλλ' ἀληθῶς τοῦτο πεπονθότος*. Ach. Tat. p. 148, *ἀκκίζῃ καὶ σχηματίζῃ πρὸς ἀπόνοιαν*. 'Your mincing and affectation are intolerable.'

δύ' ὀβολούς] This very modest fare had been greatly increased in Lucian's time. Navig. 15, *ἐς Αἴγιναν ἐπὶ τὴν τῆς Ἐνοδίας τελετὴν . . . πάντες ἅμα οἱ φίλοι τεττάρων ἕκαστος ὀβολῶν διεπλεύσαμεν*. Here, on the contrary, the two oboli are paid for the entire party. See Boeckh. Staatsh. i. p. 166, 2te Ausg.

ἐὰν πάμπολυ ταύτης τῆς μεγάλης εὐεργεσίας] Supply *πράττηται*, and comp. Eriphus, Com. ap. Athen. 84 B, *τούτων μὲν ὀβολόν, εἰ πολύ, τίθημι*. Also Apol. 26 D, *ἔξεστιν, εἰ πάνυ πολλοῦ, δραχμῆς πριαμένοις κ.τ.λ.* The utmost she ever asks for this great service is two drachms, for saving the good-man, his children, his money, and his womankind. *ἐν μετρίῳ σχήματι*, 'with unassuming carriage,' without pomp or parade. *σχῆμα*, as Stallb. points out, is not 'vestitus,' but 'habitus;' 'port,' 'bearing,' 'general aspect.' So Soph. Ant., *καὶ ζῇ τύραννον σχῆμ' ἔχων*. Lucian, Timon, c. 54, *οὗτος ὁ τὸ σχῆμα εὐσταλής, καὶ κόσμιος τὸ βάδισμα, καὶ σωφρονικὸς τὴν ἀναβολήν*.

512. *λογίζεται οὖν ὅτι οὐκ*] The negative belongs properly to the second limb of the sentence, *τούτῳ δὲ βιωτέον ἐστί*. The meditative skipper cannot tolerate the inconsistency of supposing that *if* a man labouring under an incurable bodily disease had better perish at sea and have done with it, one whose soul is a mass of vice and corruption ought to live on, and will be greatly the better for his preserver's exertions. Hirsch. unaccountably brackets *οὐκ*, but Stallb. properly compares 516 E, *οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι κατ' ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους . . . τοτ' ἐκπίπτουσι*.

μασι κατὰ τὸ σῶμα συνεχόμενος μὴ ἀπεπνίγη, οὗτος μὲν ἄθλιός ἐστιν ὅτι οὐκ ἀπέθανε, καὶ οὐδὲν ὑπ' αὐτοῦ ὠφέλη-ται· εἰ δέ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ, τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ βιωτέον ἐστὶ καὶ τοῦτον ὀνήσειεν, ἄν τε ἐκ θαλάττης ἄν τε ἐκ δικαστηρίου ἄν τε ἄλλοθεν ὁποθενοῦν σώσῃ, ἀλλ' οἶδεν ὅτι οὐκ ἄμεινόν ἐστι ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς B γὰρ ἀνάγκη ἐστὶ ζῆν.

LXVIII. Διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν κυβερνήτην, καίπερ σώζοντα ἡμᾶς. οὐδέ γε, ὦ θαυμάσιε, τὸν μηχανοποιόν, ὃς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν· πόλεις γὰρ ἔστιν ὅτε ὅλας σώζει. μή σοι δοκεῖ κατὰ τὸν δικα-νικὸν εἶναι; καίτοι εἰ βούλοιτο λέγειν, ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς, σεμνύνων τὸ πρᾶγμα, καταχώσειεν ἂν ὑμᾶς τοῖς C λόγοις, λέγων καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μη-χανοποιούς, ὡς οὐδὲν τἆλλά ἐστιν· ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος. ἀλλὰ σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς ἐκείνου, καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μη-

'We cannot suppose that skilful drivers, who are not thrown out when their team is raw, will be unable to keep their foot-ing when driving well-broken steeds.' In *τούτῳ δὲ βιωτέον ἐστὶ καὶ τοῦτον ὀνήσειεν*, there is apparently a change from direct to oblique, as Tim. 18 C, *μηχανώμενος ὅπως μηδεὶς τὸ γεγενημένον γνώσοιτο, νομιοῦσι δὲ πάντες κ.τ.λ.* Conversely Menex. 240 D, *διδάσκαλοι . . . γενόμενοι, ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος . . . ἀρετῇ ὑπείκει.* So Stallb., but he translates *ὀνήσειεν* as if it were potential, 'juvari posse.' In which case we must read *ὀνήσειεν ἄν*, or *ἂν ὀνήσειεν*, as Heind. suggests. I am not aware of any certain instance in Attic prose of the omission of *ἄν*, where the so-called optative is evi-dently potential. That quoted in Heind.'s note is not in point, being an ordinary case of oratio obliqua. Rep. 352 C, quoted by Kühner (Jelf, Gr. Gr. § 426, Obs. 1), is equally wide of the mark, for there the *ἄν* is merely not repeated.

B. *μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶναι*] 'You would not think of bring-ing him, the engineer, down to the level of a mere advocate?' Symp. 211 D, *ὃ* (sc. *αὐτὸ τὸ καλόν*) *ἐάν ποτε ἴδῃς, οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα καὶ τοὺς καλοὺς παῖδας καὶ νεανίσκους δόξει σοι εἶναι.*

C. *ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος*] Germ. Tr. "denn an Gründen würde es ihm nicht fehlen." Better than Stallb.'s "Nam larga ei dicendi copia." *λόγος* is the theme or argument taken up by the supposed engineer, who will find plenty to say about it. We might say "his theme is a fruitful one." In the previous clause there is an apparent pleonasm, *ἐπὶ τὸ δεῖν γίγνεσθαι* for *ἐπὶ τὸ γίγνεσθαι*. Tr. 'arguing and preach-ing up the duty of becoming engineers —no other profession being worth any thing.'

ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἄν] The comp. *ἀποκαλεῖν* generally implies the *ὡς ἐν ὀνείδει*, as Theaet. 168 D, *χαριεν-τισμὸν ἀποκαλῶν*. Demosth. F. L. p. 417, *λογογράφους τοίνυν καὶ σοφιστὰς ἀπο-καλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώ-μενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος.* So in Xenophon, Sophocles, Euripides. But in the spurious Sisyphus

χανοποιόν, καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις, οὔτ' ἂν αὐτὸς τῷ σαυτοῦ λαβεῖν τὴν ἐκείνου. καίτοι ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ καταφρονεῖς καὶ τῶν ἄλλων ὧν νῦν δὴ ἔλε-
D γον; οἶδ' ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων. τὸ δὲ βέλτιον εἰ μὴ ἔστιν ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτ' ἐστὶν ἀρετή, τὸ σώζειν αὑτὸν καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχε, καταγέλαστός σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν ἄλλων τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πεποίηνται. ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν ᾖ τοῦ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν γε ὡς
E ἀληθῶς ἄνδρα ἐατέον ἐστὶ καὶ οὐ φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξὶν ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ

we have ἀποκαλοῦσιν εὐβούλους, and it may be observed that in later Greek generally, ἀποκ. is used in a neutral or laudatory, as well as in the vituperative sense, which is the only one noticed by Dr. Donaldson, N. Crat. § 184, who accounts in an ingenious manner for the *bad* sense of the compound.

D. καταγέλαστός σοι ὁ ψόγος] Callicles seems from the context to have been a man of rank. A citizen of the middle class would scarcely have disdained to ally himself with a physician, whatever he might think of a μηχανοποιός. In Greece the medical profession was esteemed 'liberal.' See Bekker's Charicles, p. 281, Transl.

μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον] 'For the question of living a few years more or less is one, I apprehend, which he who is really and not in name only a man, will do well to dismiss from his thoughts.' An objection was taken by Buttmann to the construction μὴ—ἐστί, following μὴ ᾖ. He accordingly proposed καὶ γὰρ τοῦτο μέν, but afterwards recanted. The use of μή interrogative or dubitative with the indic. is recognized by grammarians. Alc. ii. 139 D, ὅρα μὴ οὐχ οὕτω ταῦτ' ἔχει. Soph. Trach. 551, ταῦτ' οὖν φοβοῦμαι μὴ πόσις μὲν Ἡρακλῆς Ἐμὸς καλεῖται, τῆς νεωτέρας δ' ἀνήρ. Thuc. iii. 53, νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἡμαρτήκαμεν. Isocr. ad Phil. p. 85 E, ἐξεπλάγησαν μὴ διὰ τὸ γῆρας ἐξέστηκα τοῦ φρονεῖν (Bekk. ἐξεστηκὼς ᾖ). Theaet. 196 B, ἐνθυμοῦ μή τι τότε γίγνεται ἄλλο, where see Heind. In all these cases μή denotes doubt or misgiving concerning the present rather than fear for the future. Hence the frequent use of μήποτε in Aristotle, where an ἀπορία is suggested. Eth. N. x. 1. 3, Μή ποτε δὲ οὐ καλῶς τοῦτο λέγεται. From this the transition to the later meaning 'perhaps' is very easy. For ὁποσονδή the MSS. give ὁπόσον δέ or δεῖ, the former being retained by the Zürich edd. The emendation εὐκτέον for ἐατέον may be passed over in silence; but C. F. Hermann's ἡδὺ μὲν τοῦτο τὸ ζῆν, ὁπόσον δὲ χρ. κ.τ.λ., deserves to be mentioned for its curiosity. Stallb.'s μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν· ὁπόσον δὲ χρόνον κ.τ.λ. appears to me very lame. He interprets his text thus: "noli enim putare istud quidem, videlicet ut vivas, honestum atque bonum esse: imo quamdiu (vivat) id eum, qui vere vir sit, curare non oportet," &c.

E. πιστεύσαντα ταῖς γυναιξίν] Routh appositely quotes Cic. N. D. i. 20, "Quanti haec philosophia aestimanda est, cui tanquam aniculis et his quidem indoctis fato fieri videntur omnia." τὸ ἐπὶ τούτῳ = 'in the next place.' "Adverbii loco adhibetur τὸ ἐπὶ τούτῳ, τὸ ἐπὶ τῷδε velut τὸ μετὰ τοῦτο. Apol. 27 B, ἀλλὰ τὸ ἐπὶ τούτῳ ἀποκρίναι, ἕσθ' ὅστις etc." Heind.

τούτῳ σκεπτέον τίν' ἂν τρόπον τοῦτον ὃν μέλλοι χρόνον βιῶναι ὡς ἄριστα βιώῃ, ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ | ἐν ᾗ ἂν οἰκῇ, καὶ νῦν δὲ ἆρα δεῖ σὲ ὡς ὁμοιότατον 513
γίγνεσθαι τῷ δήμῳ τῷ Ἀθηναίων, εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ πόλει; τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ δαιμόνιε, πεισόμεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας· σὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πολει. εἰ δέ σοι οἴει ὀντωσοῦν ἀνθρώπων παραδώσειν τέχνην τινὰ τοιαύτην, ἥτις σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε ἀνόμοιον ὄντα τῇ πολιτείᾳ εἴτ' B
ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ δοκεῖ, οὐκ ὀρθῶς βουλεύει, ὦ Καλλίκλεις· οὐ γὰρ μιμητὴν δεῖ εἶναι ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις, εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ καὶ ναὶ μὰ Δία τῷ Πυριλάμπους γε πρός. ὅστις οὖν σε τούτοις ὁμοιότατον

513. *καὶ νῦν δὲ ἆρα δεῖ σέ*] 'And whether at the present time it is not your special duty to make yourself as like as possible to the Athenian demus, if you would make friends with it, and acquire great power and influence in the state.' *ἆρα* = 'all things considered.' The clause depends on *σκεπτέον*, as if *πότερον* had followed with a finite verb, instead of *ἆρα* with a participle.

ὅπως μὴ πεισόμεθα] So Heind. for the solecistic *πεισώμεθα* of earlier edd. The emendation is confirmed by the Bodl. Before *ὅπως*, *ὅρα* is virtually repeated, and the following *ἔσται* is in apposition with *πεισόμεθα*. 'See that we do not suffer the supposed fate of those witches of Thessaly who bring or try to bring the moon down from the sky. See, I mean, that the choice of that political power we spoke of, do not cost us all that we hold most dear.' The Comm. quote Virg. Ecl. viii. 69, "Carmina vel caelo possunt deducere Lunam." Arist. Nub. 749, where Strepsiades proposes to purchase a Thessalian hag possessed of these accomplishments, for the purpose of defrauding his creditors—for, as he observes, *εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ, Οὐκ ἂν ἀποδοίην τοὺς τόκους.* Lucan (Phars. vi. 438 sqq.) describes with his usual diffuseness the black arts of the Thessalides. In particular see line 499, "illis et sidera primum Praecipiti deducta polo: Phoebeque serena Non aliter, diris verborum obsessa venenis, Palluit, et nigris terrenisque ignibus arsit, Quam si fraterna prohiberet imagine tellus." The superstition that the exercise of supernatural influence is dearly purchased by the adept has survived to modern times. It is expressed in the Greek proverb (Paroemiogr. ii. p. 417, Leutsch.), *ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις· ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων. αἱ γὰρ τὴν σελήνην καθελκούσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι.* For the idiom *σὺν τοῖς φιλτάτοις*, comp. Xen. Cyr. iii. 1. 34, *σὺν τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι.* Stallb. quotes Hom. Il. iv. 161, *σύν τε μεγάλῳ ἀπέτισαν, Σὺν σφῇσιν κεφαλῇσι, γυναιξί τε καὶ τεκέεσσι.*

B. *οὐ γὰρ μιμητὴν δεῖ εἶναι*] 'It will not do,' says Socr., 'merely to copy the ways, whether of the Athenian Demus, or the Demus of Pyrilampes; you must be radically like them if you would make any real progress in the affections either of the former, or, by heaven, of the latter either.' *τούτοις* refers to the Athenians: the 'Demus of Pyrilampes' being an after-thought. But it is difficult to render the passage intelligibly without some such prolepsis as that adopted in the translation.

ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς πολιτικὸς
C εἶναι, πολιτικὸν καὶ ῥητορικόν· τῷ αὐτῶν γὰρ ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι, τῷ δὲ ἀλλοτρίῳ ἄχθονται. εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή. Λέγομέν τι πρὸς ταῦτα, ὦ Καλλίκλεις;

LXIX. ΚΑΛ. Οὐκ οἶδ' ὄντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες. πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι.

ΣΩ. Ὁ δήμου γὰρ ἔρως, ὦ Καλλίκλεις, ἐνὼν ἐν τῇ
D ψυχῇ τῇ σῇ ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλτιον ταὐτὰ ταῦτα διασκοπώμεθα, πεισθήσει. ἀναμνήσθητι δ' οὖν, ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δὲ πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν ἃ τότε ὡριζόμεθα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἡ μὲν ἑτέρα, ἡ πρὸς ἡδονήν, ἀγεννὴς καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα. ἦ γάρ;

ΚΑΛ. Ἔστω, εἰ βούλει, σοὶ οὕτως.

E ΣΩ. Ἡ δέ γε ἑτέρα, ὅπως ὡς βέλτιστον ἔσται τοῦτο, εἴτε σῶμα τυγχάνει ὂν εἴτε ψυχή, ὃ θεραπεύομεν;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν οὕτως ἐπιχειρητέον ἡμῖν ἐστὶ τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς

C. Λέγομέν τι] The more usual λέγωμεν is found in five codd. named by Bekk. But the best give λέγομεν, which, as Heind. remarks, is justified by the common formula ἢ πῶς λέγομεν;

τὸ τῶν πολλῶν πάθος] An example of this πάθος is found in the admission of Meno, αὐτὸς ὅπερ οἱ πολλοὶ πέπονθα; τότε μέν μοι δοκοῦσι, τοτὲ δὲ οὔ, Men. 95 C. Compare the well-known passage in Cicero, Tusc. Disp. i. 11, 24, "dum lego assentior; quum posui librum .... assensio omnis illa elabitur:" the 'liber' being the Phaedo of Plato.

D. ἐὰν πολλάκις ἴσως] "In Cod. Reg. a manu recente superscriptum ἴσον." Heind. This seems to have been done on the supposition that ἐὰν πολλάκις was used in the sense 'si forte,' and that ἴσως καὶ βέλτιον ('equally well or better') went together. But it is better with Heind. to regard ἴσως as transposed, as if we had found ἀλλ' ἴσως, ἐὰν πολλάκις καὶ βέλτιον ... διασκοπώμεθα, πεισθήσει. For διασκοπώμεθα some codd. have the un-Attic διασκεπτώμεθα.

δύο ἔφαμεν εἶναι τὰς παρασκευάς] See p. 464 B foll.

E. ἐπιχειρητέον—θεραπεύειν] literally: 'ought we not so to set to work upon the city and its citizens in order to their tendance, as to try to make them as good as they can be made?' Here the inf. θεραπεύειν is epexegetic, as in the passage quoted by Stallb. from Rep. iii. 416, ἐπιχειρῆσαι τοῖς προβάτοις κακουργεῖν.

πολίτας ποιοῦντας; ἄνευ γὰρ δὴ τούτου, ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν, οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν προσφέρειν, ἐὰν | μὴ καλὴ καγαθὴ ἡ διάνοια ᾖ 514
τῶν μελλόντων ἢ χρήματα πολλὰ λαμβάνειν ἢ ἀρχήν τινων ἢ ἄλλην δύναμιν ἡντινοῦν. θῶμεν οὕτως ἔχειν;

ΚΑΛ. Πάνυ γε, εἴ σοι ἥδιον.

ΣΩ. Εἰ οὖν παρεκαλοῦμεν ἀλλήλους, ὦ Καλλίκλεις, δημοσίᾳ πράξοντας τῶν πολιτικῶν πραγμάτων ἐπὶ τὰ οἰκοδομικά, ἢ τειχῶν ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα, πότερον ἔδει ἂν ἡμᾶς σκέψασθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετάσαι, πρῶτον μὲν εἰ ἐπιστάμεθα τὴν τέχνην B
ἢ οὐκ ἐπιστάμεθα, τὴν οἰκοδομικήν, καὶ παρὰ τοῦ ἐμάθομεν; ἔδει ἂν ἢ οὔ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν δεύτερον αὖ τόδε, εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν ἰδίᾳ ἢ τῶν φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν, καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν ἐστι. καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι διδασκάλους τε ἡμῶν ἀγαθοὺς καὶ ἐλλογίμους γεγονότας καὶ οἰκοδομήματα πολλὰ μὲν καὶ καλὰ μετὰ τῶν διδασκάλων ᾠκοδομημένα ἡμῖν, πολλὰ δὲ καὶ ἴδια ἡμῶν, ἐπειδὴ τῶν διδασκάλων C
ἀπηλλάγημεν, οὕτω μὲν διακειμένων, νοῦν ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια ἔργα· εἰ δὲ μήτε διδάσκαλον εἴχομεν

Comp. Phaedr. 242 B, *καὶ νῦν αὖ δοκεῖς αἴτιός μοι γεγενῆσθαι λόγῳ τινὶ ῥηθῆναι.*

514. *πράξοντας*] I have given this on the authority of a few codd. The best seem to give *πράξαντες*. So Bodl.; but according to Gaisford, "*o* suprascriptum a manu recente." *πράξοντας* is equiv. to *ὡς πράξοντας*, as 521 B, *κολακεύσοντα ἅρα με παρακαλεῖς*. Stallb. defends *πράξαντες* because it is equiv. to *ἐπιχειρήσαντες πρᾶξαι*. This I am unable to understand. Buttm. *πράξοντες*. For the genitive *πολιτικῶν πραγμάτων*, comp. Rep. iv. 445 D, *κινήσειαν ἂν τῶν ἀξίων λόγου νόμων τῆς πόλεως*.

C. *πολλὰ δὲ καὶ ἴδια ἡμῶν*] "Dictum ut *ἡμέτερα αὐτῶν*." *Heind.* Bekk., Stallb., and Hirsch. have *ἰδίᾳ ὑφ' ἡμῶν*, the preposition occurring in but one MS. *ἰδίᾳ*, though better supported, is inappropriate here. It is properly opposed to *δημοσίᾳ*—'in a private' as distinguished from a public or official capacity. But a work done under the eye of a master (*μετὰ διδασκάλων*) may be done *ἰδίᾳ*, though it is not *ἴδιον τοῦ μαθητοῦ*, as an independent performance is.

οὕτω μὲν διακειμένων] 'If we had fulfilled these conditions, we might with prudence venture on the public works, otherwise it were absurd to attempt them.' After *ἀνόητον ἦν* the *ἂν* is omitted. Soph. Oed. T. 255, *οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον, Ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν*. With this idiom the Latin coincides: Ovid, Am. i. 6. 34, "Solus eram, si non saevus adesset Amor." Virg. Georg. ii. 132, "Et, si non alium longe jactaret odorem, Laurus erat." See instances from Plato in Ast, Lex. P., p. 136.

ἡμῶν αὐτῶν ἐπιδεῖξαι οἰκοδομήματά τε ἢ μηδὲν ἢ πολλὰ καὶ μηδενὸς ἄξια, οὕτω δὴ ἀνόητον ἦν δήπου ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά. φῶμεν ταῦτα ὀρθῶς λέγεσθαι ἢ οὔ;

D ΚΑΛ. Πάνυ γε.

LXX. ΣΩ. Οὐκοῦν οὕτω πάντα, τά τε ἄλλα, κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεψάμεθα δήπου ἂν ἐγώ τε σὲ καὶ σὺ ἐμέ, Φέρε πρὸς θεῶν, αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν; ἢ ἤδη τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος ἢ ἐλεύθερος; Κἂν ἐγώ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν. καὶ εἰ μὴ ηὑρί-

E σκομεν δι' ἡμᾶς μηδένα βελτίω γεγονότα τὸ σῶμα, μήτε τῶν ξένων μήτε τῶν ἀστῶν, μήτε ἄνδρα μήτε γυναῖκα, πρὸς Διός, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὥστε, πρὶν ἰδιωτεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον δὴ τοῦτο, ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν;

ΚΑΛ. Ἔμοιγε.

515 ΣΩ. Νῦν δέ, | ὦ βέλτιστε ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐτὸς ἄρτι ἄρχει πράττειν τὰ τῆς πόλεως πράγματα, ἐμὲ δὲ παρακαλεῖς καὶ ὀνειδίζεις ὅτι οὐ πράττω, οὐκ ἐπι-

D. δημοσιεύειν] See the note on p. 455 B. 'Before we set up for state-physicians,' says Socr., 'we ought to have had considerable and successful private practice, otherwise we shall be acting like a potter's apprentice, who should try his unpractised hand on a wine-jar, instead of some smaller and less costly vessel—we shall begin in fact where we ought to have ended.'

ηὑρίσκομεν] The rare augmented form has been replaced by Bekk., following the Bodl. See L. Dindorf in Steph. Lex. iii. col. 2420, who defends the augment by reference to an inscription dating from the 95th Olymp. Comp. Elmsley on Heracl. 305, and see inf. 515 E.

E. ἐν τῷ πίθῳ τὴν κεραμείαν] This proverb in effect answers to the adage, "Fiat experimentum in corpore vili," and to the Greek ἐν τῷ Καρὶ ὁ κίνδυνος. See Laches 187 B. So taken by most writers. See Paroemiogr. Gr. i. p. 73, Leutsch., where an alternative explanation is cited from Dicaearchus: τὴν μελέτην ἐν τοῖς ὁμοίοις ποιεῖσθαι, ὡς κυβερνήτης ἐπὶ τῆς νηὸς καὶ ἡνίοχος ἐπὶ τῶν ἵππων. An instance of this application is given in the note l. l.

σκεψόμεθα ἀλλήλους, Φέρε, Καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκε τῶν πολιτῶν; ἔστιν ὅστις πρότερον πονηρὸς ὤν, ἄδικός τε καὶ ἀκόλαστος καὶ ἄφρων, διὰ Καλλικλέα καλός τε κἀγαθὸς γέγονεν, ἢ ξένος ἢ ἀστός, ἢ δοῦλος ἢ ἐλεύθερος; Λέγε μοι, ἐάν τίς σε ταῦτα ἐξετάζῃ, ὦ Καλλί- B κλεις, τί ἐρεῖς; τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ συνουσίᾳ τῇ σῇ; Ὀκνεῖς ἀποκρίνασθαι, εἴπερ ἔστι τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος, πρὶν δημοσιεύειν ἐπιχειρεῖν;

ΚΑΛ. Φιλόνεικος εἶ, ὦ Σώκρατες.

LXXI. ΣΩ. Ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι ὁντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν, εἰ ἄλλου του ἄρα ἐπιμελήσει ἡμῖν C ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως πράγματα ἢ ὅπως ὅ τι βέλτιστοι οἱ πολῖται ὦμεν. ἢ οὐ πολλάκις ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν ἄνδρα; Ὡμολογήκαμεν ἢ οὔ; ἀποκρίνου. Ὡμολογήκαμεν· ἐγὼ ὑπὲρ σοῦ ἀποκρινοῦμαι. Εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα παρασκευάζειν τῇ ἑαυτοῦ πόλει, νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ ἐκείνων τῶν ἀνδρῶν ὧν ὀλίγῳ πρότερον ἔλεγες, εἰ ἔτι σοι δοκοῦσιν ἀγαθοὶ πολῖται γεγονέναι, Περικλῆς καὶ Κίμων D καὶ Μιλτιάδης καὶ Θεμιστοκλῆς.

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν εἴπερ ἀγαθοί, δῆλον ὅτι ἕκαστος αὐτῶν βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων. ἐποίει ἢ οὔ;

ΚΑΛ. Ἐποίει.

ΣΩ. Οὐκοῦν ὅτε Περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ, χείρους ἦσαν οἱ Ἀθηναῖοι ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν;

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκ ἴσως δή, ὦ βέλτιστε, ἀλλ' ἀνάγκη ἐκ τῶν ὡμολογημένων, εἴπερ ἀγαθός γ' ἦν ἐκεῖνος πολίτης. E

515 C. ὅπως ὅ τι βέλτιστοι οἱ πολῖται ὦμεν] 'That we the citizens may be as good as possible:' unless the *οἱ* be a careless repetition of the last two letters of *βέλτιστοι*.

D. Οὐκ ἴσως δή] So Legg. 965 C, Οὐκ ἴσως ἀλλ' ὄντως. Bekk. retains δεῖ, the reading of the best MSS., which may perhaps be defended by Theaetet. 184 A, δεῖ δὲ οὐδέτερα, ἀλλὰ Θεαίτητον ὃν κυεῖ περὶ ἐπιστήμης πειρᾶσθαι ἡμᾶς τῇ μαιευτικῇ τέχνῃ ἀπολῦσαι. But δεῖ and δή are not unfrequently confounded, as Phaedr. 261 A, *τούτων δεῖ τῶν λόγων*, vulg. *τούτων δή*. In either case we may translate: "There is no room for a 'perhaps;' it follows necessarily from the premisses," &c.

ΚΑΛ. Τί οὖν δή;

ΣΩ. Οὐδέν. ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον διαφθαρῆναι ὑπ' ἐκείνου. ταυτὶ γὰρ ἔγωγε ἀκούω, Περικλέα πεποιηκέναι Ἀθηναίους ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φιλαργύρους, εἰς μισθοφορίαν πρῶτον καταστήσαντα.

ΚΑΛ. Τῶν τὰ ὦτα κατεαγότων ἀκούεις ταῦτα, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ τάδε οὐκέτι ἀκούω, ἀλλὰ οἶδα σαφῶς καὶ ἐγὼ καὶ σύ, ὅτι τὸ μὲν πρῶτον ηὐδοκίμει Περικλῆς καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ Ἀθηναῖοι, ἡνίκα χείρους ἦσαν· ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ ἐγεγόνεσαν
516 | ὑπ' αὐτοῦ, ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους, κλοπὴν αὐτοῦ κατεψηφίσαντο, ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν, δῆλον ὅτι ὡς πονηροῦ ὄντος.

B. λάλους] In the Ranae of Aristophanes, Euripides claims the credit of having made the Athenians garrulous: Ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα. Αἴσχ. Φημὶ κἀγώ. How Pericles can have made the Athenians 'cowardly,' it is not easy to understand. Aristides is justly indignant at the imputation, and asks with great force, τί λέγεις; δειλοὺς Περικλῆς, ὦ θεοί, δειλούς; ὃς καὶ δημηγορῶν εὐθὺς ἐνθένδε ἤρξατο, Τῆς μὲν γνώμης, ἔφη, τῆς αὐτῆς, ὦ Ἀθηναῖοι, ἀεὶ ἔχομαι, μὴ εἶκειν Πελοποννησίοις, ὅ τίς τῶν εἰς ἐκείνην τὴν ἡμέραν εἰσάπαξ εἰπεῖν ἐθάρρησεν; De Quatuorv. p. 136, Jebb.

εἰς μισθοφορίαν—καταστήσαντα] Pericles introduced the practice of paying dicasts. Arist. Polit. ii. ad fin., τὰ δικαστήρια μισθόφορα κατέστησε Περικλῆς. It was he also who persuaded the Athenians to pay their soldiers, who had previously served at their own expense (Boeckh. Staatsh. i. 377, 2te Ausg.). The theoricon does not so properly come under the head of μισθοφορία, but Plato may have had it in view when he added ἀργία to the vices which he supposes Pericles to have fostered.

Τῶν τὰ ὦτα κατεαγότων] 'You hear this from the men of bruised ears,' i. e. from those who are addicted to pugilistic exercises, a sign of Laconism. Protag. 342 B, ἐξηπατήκασι τοὺς ἐν ταῖς πόλεσι Λακωνίζοντας, καὶ οἱ μὲν τὰ ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας περιειλίττονται καὶ φιλογυμναστοῦσι καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. Theocr. xxii. 45, δεινὸς ἰδεῖν, σκληραῖσι τεθλαγμένος οὔατα πυγμαῖς. The affectation of Laconian manners, ridiculed in the Protag., is however attributed to Socrates himself by Aristoph. Av. 1281, Ἑλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε Ἐκόμων, ἐπείνων, ἐῤῥύπων, ἐσωκράτων. Laconism was affected by the oligarchs, whose prejudices Callicles accuses Socr. of having adopted.

ηὐδοκίμει] So the Bodl. and Vat. 1. Vulg. εὐδοκίμει.

ἐγεγόνεσαν] Found in the Bodl. &c. γεγόνεσαν Bekk., Heind., Stallb., from inferior MSS. But in Symp. 173 B all give παραγεγόνει.

516. κλοπὴν αὐτοῦ κατεψηφίσαντο] Thucydides mentions only the fine, without specifying the pretext under which it was inflicted, ii. 65, οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δὲ αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ δμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ χρήματα ἐπέτρεψαν. It would have been fairer if Socr. had noticed the change of feeling on the part of his countrymen, and the handsome amends they made to the statesman whom they had injured:

LXXII. ΚΑΛ. Τί οὖν; τούτου ἕνεκα κακὸς ἦν Περικλῆς;

ΣΩ. Ὄνων γοῦν ἂν ἐπιμελητὴς καὶ ἵππων καὶ βοῶν τοιοῦτος ὢν κακὸς ἂν ἐδόκει εἶναι, εἰ παραλαβὼν μὴ λακτίζοντας [ἑαυτὸν] μηδὲ κυρίττοντας μηδὲ δάκνοντας ἀπέδειξε ταῦτα ἅπαντα ποιοῦντας δι' ἀγριότητα. ἢ οὐ δοκεῖ σοι κακὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζώου, B ὃς ἂν παραλαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβε; Δοκεῖ ἢ οὔ;

ΚΑΛ. Πάνυ γε, ἵνα σοι χαρίσωμαι.

ΣΩ. Καὶ τόδε τοίνυν μοι χάρισαι ἀποκρινάμενος, πότερον καὶ ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστὶν ἢ οὔ;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀνθρώπων Περικλῆς ἐπεμέλετο;

ΚΑΛ. Ναί.

fairer also if he had made some allowance for the effect of unexampled calamity in disturbing their judgment. Meanwhile it is clear that Plato disbelieved the charge on which Pericles was condemned, else he would not have brought it forward in proof of the supposed deterioration of the Athenians under his government. I assume that Plato and Thucydides allude to the same charge, though Heind., and with him Stallb., suppose that the κλοπῆς δίκη is that in which Phidias had been implicated before the Peloponnesian war. But it does not appear that Pericles was condemned or even brought to trial on this charge. In fact, the malicious report that he "blew into a flame" the warlike passions of the Athenians, in order that they might be diverted from inquiring into his proceedings (Plut. Per. p. 169 F), coupled with the absence of any testimony as to the fact of the trial or its result, is a proof that it never took place: unless, indeed, we suppose that the old charge was revived on the occasion alluded to by Thucydides. But this we are nowhere told, and it is more probable that the pretext for the latter attack was misappropriation of money entrusted to him in his capacity of strategus (κλοπὴ δημοσία, Legg. 857 B). This supposition is not inconsistent with the narrative of Plutarch, p. 171 D, E, and is even suggested by the emphatic words of Thucydides, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ χρήματα ἐπέτρεψαν. Lastly, Plato's phrase, ἐπὶ τελευτῇ τοῦ βίου, seems of itself to fix the date of the transaction. The words ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν may be an exaggeration, for they are not confirmed by the historians; but with this possible abatement, there seems no reason to impeach the accuracy of Plato's story. The amount of the fine inflicted was very large: 15 talents according to the lowest, 50 and even 80 according to other estimates. See Grote, H. G. vi. p. 226, note (1). Boeckh. Staatsh. i. p. 506, who supposes that the larger sum represents the damages fixed by the accuser, the smaller those actually recovered.

Ὄνων γοῦν ἂν ἐπιμελητής] The same homely comparison is put in the mouth of Socr. by Xenophon, Mem. i. 2. 32, Εἰπέ που ὁ Σωκράτης ὅτι θαυμαστὸν οἱ δοκοίη εἶναι, εἴ τις, γενόμενος βοῶν ἀγέλης νομεὺς καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη κακὸς βούκολος εἶναι, ἔτι δὲ θαυμαστότερον, εἴ τις, προστάτης γενόμενος πόλεως, καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους, μὴ αἰσχύνεται μηδ' οἴεται κακὸς εἶναι προστάτης τῆς πόλεως. This is said in reference to the administration of the XXX.—After λακτίζοντας several MSS. insert ἑαυτόν, in which there is obviously an error. See later, p. 519 C. Others give αὐτούς, which is more tolerable, and Aristides Rhet. αὐτόν,

ΣΩ. Τί οὖν; οὐκ ἔδει αὐτούς, ὡς ἄρτι ὡμολογοῦμεν, δικαιοτέρους γεγονέναι ἀντὶ ἀδικωτέρων ὑπ' ἐκείνου, εἴπερ
C ἐκεῖνος ἐπεμελεῖτο αὐτῶν ἀγαθὸς ὢν τὰ πολιτικά;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι ὡς ἔφη Ὅμηρος. σὺ δὲ τί φής; οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν ἀγριωτέρους γε αὐτοὺς ἀπέφηνεν ἢ οἵους παρέλαβε, καὶ ταῦτ' εἰς αὐτόν, ὃν ἥκιστ' ἂν ἐβούλετο.

ΚΑΛ. Βούλει σοι ὁμολογήσω;

ΣΩ. Εἰ δοκῶ γέ σοι ἀληθῆ λέγειν.

ΚΑΛ. Ἔστω δὴ ταῦτα.

ΣΩ. Οὐκοῦν εἴπερ ἀγριωτέρους, ἀδικωτέρους τε καὶ χείρους;

D ΚΑΛ. Ἔστω.

ΣΩ. Οὐκ ἄρ' ἀγαθὸς τὰ πολιτικὰ Περικλῆς ἦν ἐκ τούτου τοῦ λόγου.

ΚΑΛ. Οὐ σύ γε φής.

ΣΩ. Μὰ Δί' οὐδέ γε σὺ ἐξ ὧν ὡμολόγεις. Πάλιν δὲ λέγε μοι περὶ Κίμωνος· οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι οὓς ἐθεράπευεν, ἵνα αὐτοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς; καὶ Θεμιστοκλέα ταὐτὰ ταῦτα ἐποίησαν καὶ φυγῇ

C. ἥμεροι ὡς ἔφη Ὅμηρος] No such words of Homer are extant in our copies. The nearest approach to the sentiment is in the lines quoted by Routh from Od. vi. 120; ix. 175, Ἦ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι, Ἠὲ φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής.

εἰς αὐτόν, ὃν ἥκιστ' ἂν ἐβούλετο] For εἰς ὃν ἥκιστ' ἂν ἐβ. This ellipse Heind. justifies by p. 453 D, ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγομεν ὥνπερ νῦν δή. Phaed. 76 D, ἐν τούτῳ ἀπόλλυμεν ᾧπερ καὶ λαμβάνομεν, where however the best MSS. give ἐν ᾧπερ. More to the purpose is Lysias adv. Andoc., p. 255, Reisk., ἔθυσεν ἐπὶ τῶν βωμῶν ὧν οὐκ ἐξῆν αὐτῷ.

D. οὐκ ἐξωστράκισαν αὐτόν] Cimon's ostracism took place B.C. 461. He was recalled at the instance of his rival Pericles, B.C. 456, more than five years before the completion of his term of exile: οὐδέπω πέντε ἐτῶν παρεληλυθότων, as we learn from a fragment of Theopompus. Both his banishment and recall were owing to political causes; and Plato ought to have mentioned the reparation as well as the supposed injury, as Aristides has justly remarked, Quatuorv. p. 158. Comp. Grote, H. G. v. p. 443.

Θεμιστοκλέα — φυγῇ προσεζημίωσαν] This statement is quite correct, as the final sentence was passed during the ostracism of Themistocles. Thuc. i. 135, τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους ξυνεκτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων, ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. οἱ δὲ πεισθέντες (ἔτυχε γὰρ ὠστρακισμένος καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων ἑτοίμων ὄντων ξυνδιώκειν ἄνδρας οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσιν. Thucydides adds, c. 138,

προσεζημίωσαν; Μιλτιάδην δὲ τὸν [ἐν] Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο, καὶ εἰ μὴ διὰ τὸν πρύ- E

that he could not be publicly buried in Attica, ὡς ἐπὶ προδοσίᾳ φεύγων. With Plato, he omits to mention the heavier penalty of confiscation to which Themistocles as a traitor was subject, Plut. Them. c. 25. The language of Thucydides (ὡς εὕρισκον κ.τ.λ.) does not prove either his belief or disbelief in the truth of the charges alleged by the Lacedaemonians; but the flight of Themistocles and his friendly reception at the Persian court could not fail to convince the Athenian people of his guilt, and ought to be taken in justification of the second sentence.

τὸν [ἐν] Μαραθῶνι] I have bracketed the preposition, not being satisfied of its admissibility. The stereotyped formula is τὸν Μαραθῶνι, as may be seen from the following passages of Aristophanes, in some of which ἐν is excluded by the metre, while in not one is it required. Arist. Eq. 781, σὲ γὰρ δὴ Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι, where the Ravenna Cod. inserts ἐν in violation of the metre. Ibid. 1334, καὶ τοῦ Μαραθῶνι τροπαίου (al. τοὐμμαραθῶνι). Ach. 696, 697. Vesp. 711. Thesm. 806, πρὸς ἐκείνην τὴν Μαραθῶνι. And such in the majority of cases is Plato's usage, according to the codd. Comp. Arist. Rh. l. l. p. 196, Μιλτιάδης πρῶτον Μαραθῶνι, καὶ Παυσανίας ὕστερον Πλαταιᾶσι: whence we see that Μαραθῶνι is in effect an adverb of place. On the other hand, no doubt rests on the reading τὴν ἐν Σαλαμῖνι in Arist. Eq. 785. And in Isocr. Philipp. p. 112, we find ἐκ δὲ τῆς Μαραθῶνι μάχης καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας. But we sometimes find Σαλαμῖνι alone, as in Menex. 245, τὰ τρόπαια τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς—though more frequently ἐν Σ. or περὶ Σαλαμῖνα, where the battle is spoken of. So ἡ ἐν Ἀρτεμισίῳ, or περὶ Ἀρτεμίσιον ναυμαχία —never ἡ Ἀρτεμισίῳ, for an obvious reason. It would therefore be wrong to banish the preposition from all such formulae, as Cobet seems to recommend, Vv. Ll. p. 204. Hirschig has not scrupled in the present instance to cut the knot by proposing to expunge τὸν ἐν Μαραθῶνι as a gloss. But the words have considerable rhetorical force as 'augentia invidiam.'

εἰς τὸ βάραθρον ἐμβαλεῖν] The crime imputed to Miltiades was, that he had deceived and injured the Athenian people by employing the forces entrusted to him in prosecuting a private quarrel. We find from Xen. Hell. i. 7. 20, that there was ψήφισμα Καννώνου ἰσχυρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ· καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα ἐς τὸ βάραθρον ἐμβληθῆναι. The psephism of Cannonus was passed, no doubt, later than the time of Miltiades, but it refers to an existing punishment. There is, therefore, no antecedent improbability in the account given by Plato, though confirmed only by the Scholiast on Aristid. Rhet. p. 232, who says, ἠθέλησαν αὐτὸν κατακρημνίσαι. ὁ δὲ πρύτανις εἰσελθὼν ἐξητήσατο αὐτόν. According to Herod. vi. 136, the charge against Miltiades was capital: (Ξάνθιππος) θανάτου ὑπαγαγὼν ὑπὸ τὸν δῆμον Μιλτιάδεα ἐδίωκε τῆς Ἀθηναίων ἀπάτης ἕνεκα, a statement which by no means excludes the former. The Prytanis mentioned by Plato and the Schol. was doubtless the Epistates or Chairman for the day, who had the power of refusing to put an objectionable motion to the vote. Herodotus, it is true, gives the people the credit of refusing to allow Miltiades to be punished capitally. But their wishes may have been carried out by the Prytanis in the exercise of his lawful power; and Plato may be guilty of unfairness in imputing to the Athenians at large a sanguinary proposal emanating from a personal enemy of the accused. But more probably he only repeats a tradition of the anti-democratic clique in which he was brought up. The βάραθρον is explained as an ὄρυγμα (Tim. Lex. in v.), or χάσμα φρεατῶδες (Schol. Arist. Plut. 431), into which condemned malefactors, or more probably their bodies after execution, were thrown. The proposal would therefore, in the case of Miltiades, amount to a denial of the rites of sepulture. The Lacedaemonians, as we read in Thucydides i. 135, had designed to throw the dead body of Pausanias into the Caeadas (a pit or chasm corresponding to the βάραθρον at Athens), but afterwards relented and gave it burial. The Schol. on Aristides appears however to have thought that the Athenians, but for the Prytanis, would have had the victor of Marathon thrown down the pit alive (κατακρημνίσαι), and such may have been the practice in early and barbarous times.

τανιν, ἐνέπεσεν ἄν; Καίτοι οὗτοι, εἰ ἦσαν ἄνδρες ἀγαθοί, ὡς σὺ φὴς, οὐκ ἄν ποτε ταῦτα ἔπασχον. οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι κατ' ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους καὶ αὐτοὶ ἀμείνους γένωνται ἡνίοχοι, τότ' ἐκπίπτουσιν. οὐκ ἔστι ταὐτ' οὔτ' ἐν ἡνιοχείᾳ οὔτ' ἐν ἄλλῳ ἔργῳ οὐδενί. ἢ δοκεῖ σοι;

ΚΑΛ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀληθεῖς ἄρα, ὡς ἔοικεν, οἱ ἔμπροσθεν λόγοι
517 ἦσαν, ὅτι οὐδένα ἡμεῖς | ἴσμεν ἄνδρα ἀγαθὸν γεγονότα τὰ πολιτικὰ ἐν τῇδε τῇ πόλει. σὺ δὲ ὡμολόγεις τῶν γε νῦν οὐδένα, τῶν μέντοι ἔμπροσθεν, καὶ προείλου τούτους τοὺς ἄνδρας. οὗτοι δὲ ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες, ὥστε, εἰ οὗτοι ῥήτορες ἦσαν, οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο—οὐ γὰρ ἂν ἐξέπεσον—οὔτε τῇ κολακικῇ.

LXXIII. ΚΑΛ. Ἀλλὰ μέντοι πολλοῦ γε δεῖ, ὦ Σώ-
Β κρατες, μή ποτέ τις τῶν νῦν ἔργα τοιαῦτα ἐργάσηται οἷα τούτων ὃς βούλει εἴργασται.

ΣΩ. Ὦ δαιμόνιε, οὐδ' ἐγὼ ψέγω τούτους ὡς γε διακόνους εἶναι πόλεως, ἀλλά μοι δοκοῦσι τῶν γε νῦν δια-

We are told by Pausanias, iv. 18. 4, that the Lacedaemonians thus punished their captives taken in one of the Messenian wars, and this sanguinary view of the uses of the barathrum seems to have found favour with scholiasts generally. Comp. Schol. Arist. Plut. 431, *ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκίνοι, οἱ μὲν ἄνω οἱ δὲ κάτω.* So the Schol. Arist. Eccles. 1089, in giving his version of the psephism of Cannonus, alters the words of Xenophon from *ἀποθανόντα εἰς τὸ βάραθρον ἐμβληθῆναι* to *εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν.* But from a well-known passage in Plato's Republic (iv. 439 E) it appears to have been the practice to expose the bodies of criminals for some time after their execution. The executioner would afterwards probably throw the remains into the *βάραθρον*, if, as I suppose, that is the same thing with the *ὄρυγμα*, from which the functionary in question derived his euphemistic name of 'the man at the pit' (*ὁ ἐπὶ τῷ ὀρύγματι*), by which he is known to the orators. The Schol. on Plutus l. l. even states that the original barathrum was filled up by the Athenians in mythical times. This amounts to saying that the punishment of *κατακρήμνισις* had long been obsolete at Athens.

E. *οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι*] The force of the negative in this sentence is explained in the note to 512 A.

517. *ὥστε εἰ οὗτοι ῥήτορες ἦσαν*] The final cause of the true rhetoric is to make men better, that of the false to gratify their inclinations. But the statesmen in question had not attained either object, and therefore, if rhetors in either sense, they were not masters of their craft. Callicles is unable to evade the dilemma, but says, that, bad as they may have been, it will be long ere any of the statesmen of the day accomplish such feats as the worst of the four mentioned.

πολλοῦ γε δεῖ—μή ποτε] The usual construction of *πολλοῦ δεῖ* is with the infinitive, as the Comm. observe. Plato might have written *οὐ μήποτε ἐργάσηται, πολλοῦ γε καὶ δεῖ*, of which the construction in the text is a kind of abridgment. For *ὃς βούλει*, comp. Cratyl. p. 432, *ἡ ὅστις βούλει ἄλλος ἀριθμος.*

B. *ὡς γε διακόνους εἶναι*] 'Viewed as

κονικώτεροι γεγονέναι καὶ μᾶλλον οἷοί τε ἐκπορίζειν τῇ πόλει ὧν ἐπεθύμει. ἀλλὰ γὰρ μεταβιβάζειν τὰς ἐπιθυμίας καὶ μὴ ἐπιτρέπειν, πείθοντες καὶ βιαζόμενοι ἐπὶ τοῦτο ὅθεν ἔμελλον ἀμείνους ἔσεσθαι οἱ πολῖται, ὡς ἔπος εἰπεῖν, οὐδὲν τούτων διέφερον ἐκεῖνοι· ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου. ναῦς δὲ καὶ τείχη καὶ νεώρια καὶ ἄλλα C πολλὰ τοιαῦτα καὶ ἐγώ σοι ὁμολογῶ δεινοτέρους εἶναι ἐκείνους τούτων ἐκπορίζειν. Πρᾶγμα οὖν γελοῖον ποιοῦμεν ἐγώ τε καὶ σὺ ἐν τοῖς λόγοις. ἐν παντὶ γὰρ τῷ χρόνῳ ὃν διαλεγόμεθα οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι καὶ ἀγνοοῦντες ἀλλήλων ὅ τι λέγομεν. ἐγὼ γοῦν D σε πολλάκις οἶμαι ὡμολογηκέναι καὶ ἐγνωκέναι ὡς ἄρα διττὴ αὕτη τις ἡ πραγματεία ἐστὶ καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχήν, καὶ ἡ μὲν ἑτέρα διακονική ἐστιν, ᾗ δυ-

servants of the state,' says Socr., 'I disparage them no more than you do; on the contrary, they seem to me to have been more serviceable, certainly, than their successors of the present day.' Complaints of the falling off of the public men succeeding Pericles occur in the comic poets, Arist. Eq. 191. Eupolis, Δῆμοι, Fr. xiii. and xv. Mein. But Plato probably intended the remark to apply to the times in which he was himself writing, as well as to those in which the dialogue is supposed to take place. The idiom ὡς εἶναι is familiar. Herod. ii. 135, μεγάλα ἐκτήσατο χρήματα, ὡς ἂν εἶναι Ῥοδῶπιν, i.e. considering she was but a hetaera.

ἀλλὰ γὰρ μεταβιβάζειν] 'But then in the art of turning the desires of their countrymen into other channels, instead of giving them free course,—leading them by persuasion or force to measures likely to make them better,—in this the men of old were little superior if at all to our own contemporaries.' Aristides has an ingenious argument to show that the Athenians did gradually improve under the auspices of the Four. Πῶς, ὦ μακάριε; εἰ γάρ ἐστιν ἀληθὴς ὁ σὸς λόγος ὡς Μιλτιάδην γε μικροῦ εἰς τὸ βάραθρον ἐνέβαλον, πᾶν τοὐναντίον ἤδη φαίνεται, ὁ μὲν Θεμιστοκλῆς ἀγριωτάτους παραλαβὼν ἡμερωτέρους ποιήσας, τὸ γοῦν ἐξοστρακισθῆναι, καὶ πρός γ', εἰ βούλει, φυγῇ ζημιωθῆναι, κέρδος παρ' ἐκείνην τὴν συμφοράν. πάλιν δ' ὁ Κίμων ἐξωστρακίσθη μέν, φυγῇ δὲ οὐ προσεζημιώθη, ἀλλὰ καὶ κατῆλθε πρὸ τοῦ χρόνου, οὗτως ἔτι πρᾳοτέροις οὗτος ἐχρήσατο. ὁ δ' αὖ Περικλῆς ἔτι τούτου μετριώτερα δυστυχήσας κ.τ.λ. Quatuorv. p. 284 (367, Dind.). It is obviously quite untrue that Pericles had no skill in bridling the passions of the multitude, and the greatest sacrifice the Athenians ever made was instigated by Themistocles. In fact of all the four Cimon alone seems to have been open to the imputation of unduly flattering and cajoling the populace. Pericles and Themistocles led quite as much as they followed the tendencies of the public mind.

C. Πρᾶγμα οὖν γελοῖον ποιοῦμεν] Socr. here reminds Callicles that he had assented to premisses of which he rejects the logical conclusion: the premisses being contained in the original dichotomy of θεραπεία and κολακική (464 C, and note), and the assumption that statesmanship as vulgarly practised falls under the psychical branch of the latter. This admission Callicles wilfully forgets, perpetually coming round again to his own point of view, that of common sense and the received opinion. In this passage κολακεία is softened down, or rather generalized, into διακονία—ministration—a somewhat less invidious word, but equally available for Plato's purpose. Comp. inf. 521 A, where διακονεῖν is made equivalent to πρὸς χάριν ὁμιλεῖν, and then to κολακεύειν.

νατὸν εἶναι ἐκπορίζειν, ἐὰν μὲν πεινῇ τὰ σώματα ἡμῶν, σιτία, ἐὰν δὲ διψῇ, ποτά, ἐὰν δὲ ῥιγῷ, ἱμάτια, στρώματα, ὑποδήματα, ἄλλ' ὧν ἔρχεται σώματα εἰς ἐπιθυμίαν. καὶ
E ἐξεπίτηδές σοι διὰ τῶν αὐτῶν εἰκόνων λέγω, ἵνα ῥᾷον καταμάθῃς. τούτων γὰρ ποριστικὸν εἶναι ἢ κάπηλον ὄντα ἢ ἔμπορον ἢ δημιουργόν του αὐτῶν τούτων, σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάντην ἢ σκυτοτόμον ἢ σκυτόδεψον, οὐδὲν θαυμαστόν ἐστιν, ὄντα τοιοῦτον δόξαι καὶ αὐτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος, παντὶ τῷ μὴ εἰδότι ὅτι ἔστι τις παρὰ ταύτας ἁπάσας τέχνη γυμναστική τε καὶ ἰατρική, ἣ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία, ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν καὶ χρῆσθαι τοῖς τούτων ἔργοις διὰ τὸ εἰδέναι ὅ τι χρηστὸν καὶ πονη-
518 ρὸν τῶν σιτίων ἢ ποτῶν ἐστὶν εἰς ἀρετὴν | σώματος, τὰς δ' ἄλλας πάσας ταύτας ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγματείαν, τὰς ἄλλας τέχνας· τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν κατὰ τὸ δίκαιον δεσποίνας

D. *ἐὰν δὲ ῥιγῷ*] Moeris (corrected by Buttmann), 'Ριγῶν, 'Αττικῶς, ῥιγοῦν κοινῶς. 'Ριγῷ 'Αττικῶς, ῥιγοῖ 'Ελληνικῶς. This precept of the grammarians is frequently but not always confirmed by the codd. Its meaning is that *ῥιγόω* makes *ῥιγῶν* instead of *ῥιγοῦν* in the infin., and *ῥιγῷ* for *ῥιγοῖ* in the conj.; the opt. *ῥιγῴη* being formed after the analogy of other verbs in *οω*. Comp. Arist. Vesp. 446, *ὥστε μὴ ῥιγῶν ἑκάστοτ'*. Av. 935, *ἀλλά μοι ῥιγῶν δοκεῖς*. But the common form *ῥιγοῖ* occurs in Phaed. 85 A, and *ῥιγοῦν* in Rep. 440 C. These ought probably to be corrected, as well as Arist. Nub. 442, where the codd. have *ῥιγοῦν*, Meineke *ῥιγῶν*. The form in *ων* is Doric, and analogous to *πεινῆν*, *διψῆν*, &c.

E. *σκυτόδεψον*] Schol. Olymp. p. 171, *ἀττικώτερον τὸ σκυλόδεψον, ἐπειδὴ τὰ σκῦλα, ὅ ἐστι τὰ νεκρὰ σώματα καὶ δέρματα ἐψῶνται* (sic). The forms *σκυτοδέψης* and *σκυλοδέψης* are more common, but *τὸν σκυλόδεψον* occurs in Demosth. c. Aristog. p. 781. In the two best MSS. *σκυτόδεψον* is accented as in the text; all the others, followed by the edd., make the word oxytone. The reasoning in the passage is explained by reference to the earlier portion of the dialogue, 464 seq., in which the *θεραπεῖαι* of the body and of the soul are classified, and distinguished from the *κολακεῖαι* which simulate them. But the argument is vitiated by the confusion of arts which minister to utility, such as those of the *ὑφάντης* or *ἔμπορος*, with those of which mere sensual indulgence is the object. Statesmanship implies the power of making provision for the physical well-being, as well as for the mental culture of the people; but this is quite another thing from pandering to licentious appetite, whether mental or corporeal. But Socrates is made to identify *διακονία* with *κολακεία*, wherein he is by no means justified even on his own premisses. It is, besides, very perverse to represent Pericles, who reorganized the Athenian commonwealth, as a mere *διάκονος*, even if we take that word in its least contemptuous sense. He was at any rate a *νομοθέτης* on a large scale, and therefore, from Plato's point of view, a *παιδοτρίβης* or *ἰατρός* of the soul, however bad his therapeutic may have appeared to critics of aristocratic leanings.

εἶναι τούτων. ταὐτὰ οὖν ταῦτα ὅτι ἔστι καὶ περὶ ψυχήν, τοτὲ μέν μοι δοκεῖς μανθάνειν, ὅτι λέγω, καὶ ὁμολογεῖς ὡς εἰδὼς ὅ τι ἐγὼ λέγω· ἥκεις δὲ ὀλίγον ὕστερον λέγων ὅτι ἄνθρωποι καλοὶ κἀγαθοὶ γεγόνασι πολῖται ἐν τῇ πόλει, καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ οἵτινες, δοκεῖς μοι ὁμοιοτάτους B προτείνεσθαι ἀνθρώπους περὶ τὰ πολιτικά, ὥσπερ ἂν εἰ περὶ τὰ γυμναστικὰ ἐμοῦ ἐρωτῶντος οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν καὶ Σάραβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. C

LXXIV. Ἴσως ἂν οὖν ἠγανάκτεις, εἰ σοι ἔλεγον ἐγὼ ὅτι Ἄνθρωπε, ἐπαίεις οὐδὲν περὶ γυμναστικῆς· διακόνους

518 B. Θεαρίων ὁ ἀρτοκόπος] Athens was famous for the excellence of its bread. Archestratus ap. Athen. p. 112 B, τὸν δ' εἰς ἀγορὰν ποιεύμενον ἄρτον Αἱ κλειναὶ παρέχουσι βροτοῖς κάλλιστον Ἀθῆναι. The baker Thearion is mentioned by two comic poets, Antiphanes and Aristophanes. Athen. ib. D, E, Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων Ἥκω Θεαρίωνος ἀρτοπώλιον Λιπὼν ἵν' ἐστὶ κριβάνων ἐδώλια. So Antiph. in Omphale l. 1., ἄρτους—οὓς δημόταις Θεαρίων ἔδειξε, whence we conclude that Thearion was an Athenian citizen. The form ἀρτοκόπος is recognized as more Attic than ἀρτοποιός, Lobeck on Phryn. p. 222.

Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφώς] 'Siculae dapes' were proverbial. Rep. iii. 404 D, Συρακοσίαν δὲ ὦ φίλε τράπεζαν καὶ Σικελικὴν ποικιλίαν ὄψου . . . οὐκ αἰνεῖς. In Epist. vii. 326 B, Plato speaks of the excessive luxury at the court of Dionysius: βίος Ἰταλιωτικῶν καὶ Συρακοσίων τραπεζῶν πλήρης. Comp. Athen. p. 25 E, Σικελικὰς καὶ Συβαριτικὰς καὶ Ἰταλικὰς τραπέζας, ἤδη δὲ καὶ Χίας. Mithaecus, according to Maximus Tyrius, Diss. vii., was a Syracusan, as great in ὀψοποιία as Phidias in sculpture. He was expelled from Sparta, where he had begun to exercise his skill, but welcomed by all other cities that he visited. Possibly his was the first cookery-book. It does not however seem to have survived to the time of Athenaeus, who would not have failed to quote, had he known it. Of Sarambus, as the copies have it, or Sărăbus, as the name ought to be written and pronounced (Σαραβικῶν κοπίδων συνομώνυμε, Achaeus ap. Athen. p. 173 E), we learn from another comic poet that he was a Plataean, and his reputation one of the very few things on which that small city could plume itself. Posidippus, Fr. inc. iii., Meineke iv. p. 525. Jul. Poll. vii. 193, explains the business of the κάπηλος to have included the mixing of wines for the table: κάπηλοι οὐ μόνον οἱ μεταβολεῖς, ἀλλὰ καὶ οἱ τὸν οἶνον κεραννύντες· ὅθεν καὶ Σάραβον ὁ Πλάτων κάπηλον ὠνόμασεν, ἐπαινῶν αὐτὸν ἐπ' οἰνουργίᾳ (for the vulg. Σαράβωνα). The true form Σάραβος also lurks in a MS. reading of Athen. 112 E, καὶ σάραμβος ὁ κάραβος ὁ κάπηλος: doubtless a duplex lectio—Σάραμβος (ἢ Σάραβος). From the γεγόνασι which follows, we may infer that these three worthies were dead when the Gorgias was written.

C. Ἴσως ἂν οὖν ἠγανάκτεις] 'Now, I dare say you would have been indignant if I had said, Friend, you know nothing of Gymnastic; you tell me of fellows who are mere ministers and caterers to the desires, destitute of all sound and right views concerning them,' i. e. concerning the desires, and their fitness or unfitness to be gratified. Comp. p. 501 B, ἥτις δὲ ἡ βελτίων ἢ χείρων τῶν ἡδονῶν οὔτε σκοπούμεναι οὔτε μέλον αὐταῖς ἄλλο ἢ χαρίζεσθαι μόνον.

μοι λέγεις καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους, οὐκ ἐπαΐοντας καλὸν κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἵ, ἂν οὕτω τύχωσιν, ἐμπλήσαντες καὶ παχύναντες τὰ σώματα τῶν
D ἀνθρώπων, ἐπαινούμενοι ὑπ' αὐτῶν, προσαπολοῦσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας. οἱ δ' αὖ δι' ἀπειρίαν οὐ τοὺς ἐστιῶντας αἰτιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς ἀποβολῆς τῶν ἀρχαίων σαρκῶν, ἀλλ' οἳ ἂν αὐτοῖς τύχωσι τότε παρόντες καὶ συμβουλεύοντές τι, ὅταν δὴ αὐτοῖς ἥκῃ ἡ τότε πλησμονὴ νόσον φέρουσα συχνῷ ὕστερον χρόνῳ, ἅτε ἄνευ τοῦ ὑγιεινοῦ γεγοννῖα, τούτους αἰτιάσονται καὶ ψέξουσι καὶ κακόν τι ποιήσουσιν, ἂν οἷοί τ' ὦσι, τοὺς δὲ προτέρους ἐκείνους καὶ αἰτίους τῶν κακῶν ἐγκωμιάσουσι.
E καὶ σὺ νῦν, ὦ Καλλίκλεις, ὁμοιότατον τούτῳ ἐργάζει· ἐγκωμιάζεις ἀνθρώπους οἳ τούτους εἱστιάκασιν εὐωχοῦντες ὧν ἐπεθύμουν. καί φασι μεγάλην τὴν πόλιν πεποιηκέναι αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστι δι' ἐκείνους τοὺς
519 παλαιούς, οὐκ αἰσθάνονται. | ἄνευ γὰρ σωφροσύνης καὶ δικαιοσύνης λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν· ὅταν οὖν ἔλθῃ ἡ καταβολὴ αὕτη τῆς ἀσθενείας, τοὺς τότε παρόντας αἰτιάσονται συμβούλους, Θεμιστοκλέα δὲ καὶ Κίμωνα καὶ Περικλέα ἐγκωμιάσουσι, τοὺς αἰτίους τῶν κακῶν· σοῦ δὲ

D. προσαπολοῦσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας] These quacks will not only add no new flesh to the bodies they cram and pamper, but will eventually cause them to lose the flesh they had. They may grow fat for a time, but repletion will bring in its train disease and ultimate emaciation, having been effected without regard to sanitary rules.

E. καί φασι μεγάλην τὴν πόλιν πεποιηκέναι αὐτούς] Comp. Thuc. ii. 65, ἐγένετο ἐπ' ἐκείνου μεγίστη. People pretend that the statesmen of old have made Athens great, not perceiving that she is tumid from disease, and rotten at the core—all in consequence of those men and their measures. They have glutted the city with all the appliances of material prosperity, without teaching her to use them temperately and righteously; and hence, when the disease shall come to a head, blame will be thrown on whoever shall happen to be her advisers, instead of on the true authors of her woe. ἡ καταβολὴ αὕτη is the πλησμονὴ νόσον φέρουσα just mentioned. καταβολή is a medical term for the 'access' of a periodic or intermitting fever, which leaves the patient apparently well in the interval. The metaphor is not uncommon. Thus Demosth. Philipp. iii. p. 118, in speaking of the insidious approaches of the Macedonian power, says, ὅτι γε ὥσπερ περίοδος ἡ καταβολὴ πυρετοῦ ἢ τινος ἄλλου κακοῦ καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται, οὐδεὶς ἀγνοεῖ. Comp. Hipp. Min. 372 E, νυνὶ δ' ἐν τῷ πάροντί μοι ὥσπερ καταβολὴ περιελήλυθε . . . σὺ οὖν χάρισαι, καὶ μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου. Socrates having said that he was liable to vacillation—to hot and cold fits of opinion—on a certain doubtful question.

ἴσως ἐπιλήψονται, ἐὰν μὴ εὐλαβῆ, καὶ τοῦ ἐμοῦ ἑταίρου Ἀλκιβιάδου, ὅταν καὶ τὰ ἀρχαῖα προσαπολλύωσι πρὸς οἷς ἐκτήσαντο, οὐκ αἰτίων ὄντων τῶν κακῶν ἀλλ' ἴσως B συναιτίων. καίτοι ἔγωγε ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμενον καὶ ἀκούω τῶν παλαιῶν ἀνδρῶν περι. αἰσθάνομαι γάρ, ὅταν ἡ πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα, ἀγανακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ πάσχουσι· πολλὰ καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες ἄρα ἀδίκως ὑπ' αὐτῆς ἀπόλλυνται, ὡς ὁ τούτων λόγος. τὸ δὲ ὅλον ψεῦδός ἐστι. προστάτης γὰρ C πόλεως οὐδ' ἂν εἷς ποτὲ ἀδίκως ἀπόλοιτο ὑπ' αὐτῆς τῆς πόλεως ἧς προστατεῖ. κινδυνεύει γὰρ ταὐτὸν εἶναι, ὅσοι τε πολιτικοὶ προσποιοῦνται εἶναι καὶ ὅσοι σοφισταί. καὶ γὰρ οἱ σοφισταί, τἆλλα σοφοὶ ὄντες, τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς διδάσκαλοι

519. *καὶ τοῦ ἐμοῦ ἑταίρου Ἀλκιβιάδου*] This part of the prophecy was fulfilled, for the fall of Athens was very generally attributed to the rashness of Alcibiades in urging on the Sicilian expedition. The admirers of Pericles might justly complain of his being thus made responsible for a step the most directly opposed to his own policy. Thucyd. l. l. § 6 seq. The present passage seems to imply that Alcibiades was still in Athens. If this is so, and we assume 405 B.C. for the date of the conversation (473 E), Plato is guilty of an anachronism, for Alcibiades left the city for the last time B.C. 407. But he was probably aware of the inconsistency, and indifferent to it.

B. *αἰσθάνομαι — λόγος*] "When the state," says Socr., "deals with any of our public characters as wrong-doers, I hear of their being indignant and loudly lamenting the injustice they are made to suffer: 'So, after all our valuable services to the state, we are perishing unrighteously at her hands'—such is the language they hold." This version shows the force of *ἄρα*, which has its usual inferential sense, though placed somewhat late in the sentence. Of this however there are other examples. Symp. 199 A, *ἀλλὰ γὰρ ἐγὼ οὐκ ᾔδη ἄρα τὸν τρόπον τοῦ ἐπαίνου*. Ibid. 177 E, *ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασαν*. "But in this," proceeds Socr., "there is not one word of truth, for there can be no such thing as a ruler of a state perishing unrighteously at the hands of the state he rules. For I fancy the case is much the same with professed politicians as with professed sophists or teachers of wisdom. Such teachers, wise as they are in all other respects, are in one point guilty of gross absurdity: pretending to be teachers of virtue, they not unfrequently accuse their pupils of wrongdoing in withholding their fees," &c. This may be a fair 'argumentum ad hominem' against a sophist who should give out that virtue is capable of being taught, and that he can teach it; in fact, we know that it was a common taunt against such persons. See Isocr. c. Soph. § 4, 5, 6. No such boast however was made by Pericles or his successors; and the principle Socrates endeavours to establish is an extravagant paradox, quite unsupported by the analogy he alleges. 'To make men good' may be the final cause of statesmanship, but it is an end which in the nature of things can only be partially accomplished, even under the most favourable circumstances. In practice such professions are usually a cloak of tyranny, as Plato might have learned from the case of his relative Critias. His Sicilian experiences were probably not yet purchased.

εἶναι πολλάκις κατηγοροῦσι τῶν μαθητῶν ὡς ἀδικοῦσι σφᾶς [αὐτούς,] τούς τε μισθοὺς ἀποστεροῦντες καὶ ἄλλην
D χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν. καὶ τούτου τοῦ λόγου τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, ἀνθρώπους ἀγαθοὺς καὶ δικαίους γενομένους, ἐξαιρεθέντας μὲν ἀδικίαν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην, ἀδικεῖν τούτῳ ᾧ οὐκ ἔχουσιν; οὐ δοκεῖ σοι τοῦτο ἄτοπον εἶναι, ὦ ἑταῖρε; Ὡς ἀληθῶς δημηγορεῖν με ἠνάγκασας, ὦ Καλλίκλεις, οὐκ ἐθέλων ἀποκρίνεσθαι.

LXXV. ΚΑΛ. Σὺ δ' οὐκ ἂν οἷός τ' εἴης λέγειν, εἰ μή τίς σοι ἀποκρίνοιτο;

E ΣΩ. Ἔοικά γε· νῦν γοῦν συχνοὺς τείνω τῶν λόγων, ἐπειδή μοι οὐκ ἐθέλεις ἀποκρίνεσθαι. ἀλλ', ὦ 'γαθέ, εἰπὲ πρὸς φιλίου, οὐ δοκεῖ σοι ἄλογον εἶναι ἀγαθὸν φάσκοντα πεποιηκέναι τινὰ μέμφεσθαι τούτῳ ὅτι ὑφ' ἑαυτοῦ ἀγαθὸς γεγονώς τε καὶ ὢν ἔπειτα πονηρός ἐστιν;

ΚΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν ἀκούεις τοιαῦτα λεγόντων τῶν φασκόντων παιδεύειν ἀνθρώπους εἰς ἀρετήν;

520 | ΚΑΛ. Ἔγωγε. ἀλλὰ τί ἂν λέγοις ἀνθρώπων πέρι οὐδενὸς ἀξίων;

C. ὡς ἀδικοῦσι σφᾶς] I agree with Bekker in thinking αὐτούς inadmissible. ἀδικοῦσι σφᾶς αὐτούς would mean 'they, the pupils, are wronging themselves,' 'ipsi se injuria afficiunt.' The following τούς easily explains the origin of the error. See above 506 A; also 520 B, ὡς πονηρόν ἐστιν εἰς σφᾶς. A similar error has been corrected in Xen. Hell. iii. 2. 6, ἐπιστεῖλαι δὲ σφίσιν [αὐτοῖς] τοὺς ἐφόρους.

D. ἀδικεῖν τούτῳ ᾧ οὐκ ἔχουσιν] In Socratic language, ἀδικίᾳ οἱ ἀδικοῦντες ἀδικοῦσιν.

Ὡς ἀληθῶς δημηγορεῖν] Callicles had said, Ὦ Σώκρατες, δοκεῖς νεανιεύεσθαι ἐν τοῖς λόγοις ὡς ἀληθῶς δημηγόρος ὤν. Socrates quotes his words, and tells him that his declamatory style is this time compulsory. Callicles had the remedy in his own hands; he had but to answer the questions proposed to him, and the long harangue would be exchanged for dialogue.

E. νῦν γοῦν—λόγων] Heind. quotes Protag. 329 A, καὶ οἱ ῥήτορες οὕτω σμικρὰ ἐρωτηθέντες δολιχὸν κατατείνουσι τοῦ λόγου. But in his note on that passage, he alleges that the cases are not parallel. However this may be, the phrase συχνοὺς τείνω τῶν λόγων is scarcely to be distinguished from the ordinary συχνοὺς τείνω τοὺς λόγους. 'It would seem,' says Socr., 'that I *can* get on without such assistance — for now, at any rate, the speeches I make are prolix enough.' "In sequentibus ἔπειτα πονηρός ἐστιν, positum ἔπειτα pro ὅμως, usu frequentissimo." Heind.

520. ἀνθρώπων πέρι οὐδενὸς ἀξίων] This is a good dramatic touch. Callicles, an admirer of the pure rhetoricians, adopts their tone of contempt for the sophists, who professed to teach virtue. See in particular the curious fragment of Isocrates, κατὰ τῶν σοφιστῶν, in which he describes those who make such professions as λίαν ἀπερισκέπτως ἀλαζονευόμενοι—μόνον οὐκ ἀθανάτους ὑπισχνούμενοι τοὺς συνόντας ποιήσειν, §§ 1, 4. In this

ΣΩ. Τί δ' ἂν περὶ ἐκείνων λέγοις οἳ φάσκοντες προεστάναι τῆς πόλεως καὶ ἐπιμελεῖσθαι ὅπως ὡς βελτίστη ἔσται πάλιν αὐτῆς κατηγοροῦσιν, ὅταν τύχωσιν, ὡς πονηροτάτης; οἴει τι διαφέρειν τούτους ἐκείνων; ταὐτόν, ὦ μακάρι', ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον, ὥσπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον. σὺ δὲ δι' B
ἄγνοιαν τὸ μὲν πάγκαλόν τι οἴει εἶναι, τὴν ῥητορικήν, τοῦ δὲ καταφρονεῖς· τῇ δὲ ἀληθείᾳ κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς ὅσῳπερ νομοθετικὴ δικαστικῆς καὶ γυμναστικὴ ἰατρικῆς. μόνοις δ' ἔγωγε καὶ ᾤμην τοῖς δημηγόροις τε καὶ σοφισταῖς οὐκ ἐγχωρεῖν μέμφεσθαι τούτῳ τῷ πράγματι ὃ αὐτοὶ παιδεύουσιν, ὡς πονηρόν ἐστιν εἰς σφᾶς, ἢ τῷ αὐτῷ λόγῳ τούτῳ ἅμα καὶ ἑαυτῶν κατηγορεῖν ὅτι οὐδὲν ὠφελήκασιν οὓς φασιν ὠφελεῖν. οὐχ οὕτως ἔχει; C

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Καὶ προέσθαι γε δήπου τὴν εὐεργεσίαν ἄνευ μισθοῦ, ὡς τὸ εἰκός, μόνοις τούτοις ἐνεχώρει, εἴπερ ἀληθῆ ἔλεγον. ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετηθείς, οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην, ἴσως ἂν ἀποστερήσειε

Isocrates follows the traditions of his master Gorgias, as appears from Menon, p. 95 C. Socrates presently maintains that if a comparison be made between rhetoric and sophistic, the latter must be preferred: just as legislation is a higher art than dicastic, and the art which keeps the body in health superior to that which removes sickness. But here again the analogy fails; for the political rhetor (*δημηγόρος*) *is* on occasion a *νομοθέτης*, and is not eo nomine a pleader in the courts (*δικαστικός*). As a public speaker, it is true, he may have to rebuke as well as to exhort; but to make that his principal or only duty is surely perverse.

ὅταν τύχωσιν] 'when occasion serves,' as when they are unjustly punished, ostracized, or the like.

B. *τούτῳ τῷ πράγματι*] Not exclusively 'the people,' as Ast puts it, but the people in the case of the orators, their pupils in that of the Sophists. *πρᾶγμα* and *χρῆμα* are not unfrequently applied to persons. Aristoph. Eccles. 441, *γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικόν*. Eubulus, fr. Chrys. ii. ap. Mein. iii. 260, *κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ Μέγα πρᾶγμα*. With a genitive, Criton 53 C, *οὐκ οἴει ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα*.

C. *Καὶ προέσθαι γε δήπου*] Sophists and public men, if their professions had been worth any thing, could alone afford to trust those whom they benefit. A trainer would have less reason to complain if his pupil, when he had learnt to run fast, should refuse to pay him—supposing he had left the question of payment open, instead of stipulating for a fee to be paid down as nearly as possible at the time of imparting the desired accomplishment. *προέσθαι*—to trust a customer, to leave the time or amount of payment to his honour—occurs in much the same sense, Legg. 849 E, *ὁ δὲ προέμενος ὡς πιστεύων, ἐάν τε κομίσηται ἐάν τε μή, στεργέτω ὡς οὐκέτι δίκης οὔσης τῶν τοιούτων πέρι συναλλάξεων*. Xen. Anab. vii. 7. 47, *πιστεύω σε οὐκ ἀνέξεσθαι τούς σοι προεμένους εὐεργεσίαν ὁρῶντά σοι ἐγκαλοῦντας* (sc. *ὅτι οὐκ ἀπέδωκας*). Our modern honoraria answer in theory to the suggestion in the text.

τὴν χάριν, εἰ προοῖτο αὐτῷ ὁ παιδοτρίβης καὶ μὴ συνθέμενος αὐτῷ μισθὸν ὅ τι μάλιστα ἅμα μεταδιδοὺς τοῦ
D τάχους λαμβάνοι τὸ ἀργύριον· οὐ γὰρ τῇ βραδυτῆτι, οἶμαι, ἀδικοῦσιν οἱ ἄνθρωποι, ἀλλ' ἀδικίᾳ. ἦ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν εἴ τις αὐτὸ τοῦτο ἀφαιρεῖ, τὴν ἀδικίαν, οὐδὲν δεινὸν αὐτῷ μήποτε ἀδικηθῇ, ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν. οὐχ οὕτως;

ΚΑΛ. Φημί.

LXXVI. *ΣΩ.* Διὰ ταῦτ' ἄρα, ὡς ἔοικε, τὰς μὲν ἄλλας συμβουλὰς συμβουλεύειν λαμβάνοντα ἀργύριον, οἷον οἰκοδομίας πέρι ἢ τῶν ἄλλων τεχνῶν, οὐδὲν αἰσχρόν.

E *ΚΑΛ.* Ἔοικέ γε.

ΣΩ. Περὶ δέ γε ταύτης τῆς πράξεως, ὅντιν' ἄν τις τρόπον ὡς βέλτιστος εἴη καὶ ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ ἢ πόλιν, αἰσχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν, ἐὰν μή τις αὐτῷ ἀργύριον διδῷ. ἦ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Δῆλον γὰρ ὅτι τοῦτο αἴτιόν ἐστιν, ὅτι μόνη αὕτη τῶν εὐεργεσιῶν τὸν εὖ παθόντα ἐπιθυμεῖν ποιεῖ ἀντ' εὖ ποιεῖν, ὥστε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι, εἰ εὖ ποιήσας ταύτην τὴν εὐεργεσίαν ἀντ' εὖ πείσεται· εἰ δὲ μή, οὔ. ἔστι ταῦτα οὕτως ἔχοντα;

521 | *ΚΑΛ.* Ἔστιν.

ΣΩ. Ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν

D. Οὐκοῦν εἴ τις] 'Whoever then can remove injustice from the soul, need be under no apprehension of ever being wronged: for him alone it is safe to bestow this boon unconditionally.' For *μόνῳ* it would have been more correct to say *μόνην*. In the next clause Socrates intimates scepticism as to the reality of such pretensions. 'If indeed there were any one capable of making men good.' The Comm. speak of the sophists Protagoras and Prodicus as the objects of these satirical remarks. But it is to be observed that Plato's contemporaries the Cynics made the same profession, and to them the description in Isocrates, *κατὰ τῶν σοφιστῶν*, § 4 seq., is applicable in all its features. Doubtless also there were sophists unattached to any sect who followed the example. The rhetors, who did *not* teach virtue, consistently demanded payment in advance. This we gather from Demosth. c. Lacritum, p. 938, together with the information that the amount of the fee was ten minae. Evenus the Parian, an educator of the ethical school, was content with five, Apol. 20 B. The formula *οὐδὲν δεινὸν μή* occurs Apol. 28 B, *οὐδὲν δ. μὴ ἐν ἐμοὶ στῇ*.

τῆς πόλεως; διόρισόν μοι· τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις ὅπως ὡς βέλτιστοι ἔσονται, ὡς ἰατρόν, ἢ ὡς διακονήσοντα καὶ πρὸς χάριν ὁμιλήσοντα; Τἀληθῆ μοι εἰπέ, ὦ Καλλίκλεις· δίκαιος γὰρ εἶ, ὥσπερ ἤρξω παῤῥησιάζεσθαι πρὸς ἐμέ, διατελεῖν ἃ νοεῖς λέγων. καὶ νῦν εὖ καὶ γενναίως εἰπέ.

ΚΑΛ. Λέγω τοίνυν ὅτι ὡς διακονήσοντα. B

ΣΩ. Κολακεύσοντα ἄρα με, ὦ γενναιότατε, παρακαλεῖς.

ΚΑΛ. Εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες· ὡς εἰ μὴ ταὐτά γε ποιήσεις—

ΣΩ. Μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας, ὅτι ἀποκτενεῖ με ὁ βουλόμενος, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω, ὅτι πονηρός γε ὢν ἀγαθὸν ὄντα· μηδ' ὅτι ἀφαιρήσεται ἐάν τι ἔχω, ἵνα μὴ αὖ ἐγὼ εἴπω ὅτι Ἀλλ' ἀφελόμενος οὐχ ἕξει ὅ τι χρήσεται αὐτοῖς, ἀλλ' ὥσπερ με ἀδίκως ἀφείλετο, οὕτω καὶ λαβὼν ἀδίκως C χρήσεται· εἰ δὲ ἀδίκως, αἰσχρῶς· εἰ δὲ αἰσχρῶς, κακῶς.

LXXVII. ΚΑΛ. Ὡς μοι δοκεῖς, ὦ Σώκρατες, πι-

521. δίκαιος γὰρ εἶ, ὥσπερ ἤρξω] 'As you spoke your mind freely from the first, I have a right to expect you to be consistent and to tell me now what you really think.' In the next speech of Socrates the construction κολακεύσοντα παρακαλεῖν is rare, and many edd. prefer ὡς κολακεύσοντα, which has no MS. authority. But the sense is the same whether we prefix ὡς or not. We may say, for instance, indifferently, παρακαλεῖν εἰς κολάκευσιν, and παρακαλεῖν ὡς εἰς κολάκευσιν, and so too, I conceive, where the participle is used. See above, 514 A.

B. Εἴ σοι Μυσόν γε ἥδιον καλεῖν] The Comm. have given themselves much needless trouble with this passage, which is perfectly clear when seen by the light of the context. Socrates had asked Callicles whether he would have him come forward as the ἰατρός or as the διάκονος of the Athenian people.—'As the διάκονος certainly.' 'In other words, as its flatterer.'—'Yes,' answers Callicles, 'its flatterer, if you prefer to use the most opprobrious word you can think of. If you are too proud to flatter—' you must take the consequences. The prov. Μυσὸν καλεῖν hangs together with Μυσῶν ἔσχατος, Μυσῶν λεία. The Mysians, like the Carians, were regarded as the refuse of mankind. Hence Μυσὸν καλεῖν = to call names. This the Greek interpreter Olympiodorus has understood, but it was hidden from all the edd. preceding Bekker. It should be observed that the word κόλαξ (later παράσιτος) is much more invidious than our 'flatterer.' 'Toad-eater,' or even 'pander,' would better convey its force to an English reader. (See Plaut. Amphitr. i. 3. 17.) Compare also the description of the κόλαξ in Eupolis (κόλακες, Fr. i.) with that of the παράσιτος in Diodorus Com. (Ἐπίκληρος, Mein. iv. 543). Another comic poet records of Socrates that starved as he was he never stooped to be a κόλαξ—οὗτος μέντοι πεινῶν οὕτως οὐπώποτ' ἔτλη κολακεῦσαι, Ameipsias, Connus. Fr. i.

πονηρός γε ὢν ἀγαθὸν ὄντα] For the full force of these words in the mouth of Socrates, compare Apol. 30 D.

C. Ὡς μοι δοκεῖς] 'How confident you seem that nothing of this kind will ever happen to you—as if you dwelt apart and were not liable to be dragged into court—it may be by some wretch of the vilest character.' Possibly Plato aimed this at Meletus, who seems to have been a bad man as well as an indifferent poet. Mein. Com. Gr. ii. p. 1126.

στεύειν μηδ' ἂν ἓν τούτων παθεῖν, ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰσαχθεὶς εἰς δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου!

ΣΩ. Ἀνόητος ἄρα εἰμί, ὦ Καλλίκλεις, ὡς ἀληθῶς, εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει ὀντινοῦν ἄν, ὅ τι τύχοι, τοῦτο παθεῖν. τόδε μέντοι εὖ οἶδ' ὅτι, ἐάνπερ εἰσίω εἰς δικα-
D στήριον περὶ τούτων τινὸς κινδυνεύων ὧν σὺ λέγεις, πονηρός τίς με ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄνθρωπον εἰσαγάγοι. καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθάνοιμι. βούλει σοι εἴπω δι' ὅ τι ταῦτα προσδοκῶ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν. ἅτε οὖν οὐ πρὸς χάριν λέγων τοὺς λόγους οὓς λέγω ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλτιστον,
E οὐ πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ παραινεῖς, τὰ κομψὰ ταῦτα, οὐχ ἕξω ὅ τι λέγω ἐν τῷ δικαστηρίῳ. ὁ αὐτὸς δέ μοι ἥκει λόγος ὅνπερ πρὸς Πῶλον ἔλεγον· κρινοῦμαι γὰρ ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο κατηγοροῦντος ὀψοποιοῦ. σκόπει γάρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις ληφθείς, εἰ αὐτοῦ κατηγοροῖ τις λέγων ὅτι Ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνὴρ καὶ αὐτούς, καὶ τοὺς νεωτάτους ὑμῶν
522 διαφθείρει τέμνων τε καὶ κάων, καὶ ἰσχναίνων | καὶ πνίγων ἀπορεῖν ποιεῖ, πικρότατα πώματα διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥσπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ

D. περὶ τούτων τινὸς κινδυνεύων] "Videlicet de *capite et bonis:* quae ante commemoraverat Callicles." Stallb.

E. τὰ κομψὰ ταῦτα] We must suppose this a quotation. Callicles had adjured Socrates to abandon philosophy —ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφείς—and Socrates retorts by calling the arts of the rhetor τὰ κομψὰ ταῦτα. Sup. 486 C. The next sentence is an amplification of 464 D. A philosopher in a court of justice is like a physician accused by a confectioner before a jury of school-boys. ὀψοποιός stands of course for the rhetor who accuses him.

522. πώματα] The codd. give πόματα, some few πέμματα. Pors. on Hec. 392, καὶ δὶς τόσον πῶμ' αἵματος γενήσεται. "πόμ' MSS. et edd., sed haec forma Atticis erat incognita. Quod hoc uno argumento satis probatur. Multa sunt loca in quibus metrum πῶμα flagitet; nullum ubi πόμα postulet; pauca, ubi admittat." It may be added that the codd. sometimes give πόμα where the metre convicts them. Thus in Alexides Com. πόματος is made to end a senarius, in a frag. cited by Athenaeus, p. 28 E.

παντοδαπὰ εὐώχουν ὑμᾶς. τί ἂν οἴει ἐν τούτῳ τῷ κακῷ ἀπολῃφθέντα ἰατρὸν ἔχειν εἰπεῖν; ἢ εἰ εἶποι τὴν ἀλήθειαν, ὅτι Ταῦτα πάντα ἐγὼ ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς, πόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς; οὐ μέγα;

ΚΑΛ. Ἴσως· οἴεσθαί γε χρή.

ΣΩ. Οὐκοῦν οἴει ἐν πάσῃ ἀπορίᾳ ἂν αὐτὸν ἔχεσθαι ὅ τι χρὴ εἰπεῖν; B

ΚΑΛ. Πάνυ γε.

LXXVIII. ΣΩ. Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδ' ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον. οὔτε γὰρ ἡδονὰς ἃς ἐκπεπόρικα ἔξω αὐτοῖς λέγειν, ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν, ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ οὔτε οἷς πορίζεται· ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν ἀπορεῖν ποιοῦντα, ἢ τοὺς πρεσβυτέρους κακηγορεῖν λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς ἔξω εἰπεῖν, ὅτι Δικαίως πάντα ταῦτα ἐγὼ λέγω, καὶ πράττω τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, C οὔτε ἄλλο οὐδέν. ὥστε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι.

ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτω διακείμενος καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν;

τί ἂν οἴει—ἀπολῃφθέντα] 'What would the physician find to say, think you, under these desperate circumstances?' ἀπολῃφθ., shut off as it were from all aid and sympathy—'driven into a corner,' as we say. Menex. 243 C, ἀπειλημμένων ἐν Μυτιλήνῃ τῶν νεῶν. Euthyd. 305 D, ἐν δὲ τοῖς ἰδίοις λόγοις ὅταν ἀπολῃφθῶσιν, ὑπὸ τῶν ἀμφὶ Εὐθύδημον κολούεσθαι—said of a fluent rhetorician brought to bay by a skilful controversialist.

πόσον οἴει] This rests on the authority of a single MS. All the rest have ὁπόσον, and so every ed. but Hirschig. Several instances of the oblique for the direct interrogation occur in Plato, if the codd. are to be trusted; as ὁπότερος, Lysis 212 C, Euthyd. 271 A. ὁποῖος, Alcib. i. 110 C. But in Charm. 170 B, for ταύτῃ τῇ ἐπιστήμῃ ὅπως εἴσεται; the edd. now give πῶς on the strength of one MS. The other instances are not improbably neoterisms introduced by copyists. No example has been adduced from an Attic poet, where the oblique form in the direct sense is required by the metre, and till this is done the legitimacy of the usage may be doubted.

B. Τοιοῦτον μέντοι] Compare the exordium of the Apologia, where Socrates disavows the δεινότης attributed to him by his accusers.

ἀπορεῖν ποιοῦντα] He alludes of course to the effect produced by his cross-questioning. This could not be made an article of impeachment by his accusers, but Socrates points to it in the Apol. as one principal cause of his unpopularity, p. 23. The Comm. quote Menon 79 E, Theaet. 149 A.

C. πράττω τὸ ὑμέτερον δὴ τοῦτο] 'Herein I am acting in your interest, not in my own.' Apol. 31 B, he makes the same assertion: τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι . . . τὸ δ' ὑμέτερον πράττειν ἀεὶ . . . πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. Similar is the expression, 455 C, κἀμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν. After οὔτε ἄλλο οὐδέν supply of course ἔξω εἰπεῖν.

ΣΩ. Εἰ ἐκεῖνό γε [ἐν] αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὐτῷ, D μήτε περὶ ἀνθρώπους μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος. αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν. εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε, εὖ E οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον. αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἀνανδρός ἐστι, τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅιδου ἀφικέσθαι πάντων ἔσχατον κακῶν ἐστίν. εἰ δὲ βούλει, σοὶ ἐγώ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι.

ΚΑΛ. Ἀλλ' ἐπείπερ γε καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον.

523 LXXIX. | ΣΩ. Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου,

Εἰ ἐκεῖνό γε [ἐν] αὐτῷ ὑπάρχοι] The omission of ἐν is suggested by Heind. Stallb. defends the prep. on the insufficient plea that ὑπάρχοι has the force of ἐνείη. The phrase ὑπάρχειν τινί seems invariable. "I think it *would* be well with him if he stood on that vantage-ground which you have frequently acknowledged in the course of our argument. I mean if he had 'helped himself' by abstinence from injustice to men and gods, whether in word or deed. For this is a kind of self-help which we have more than once allowed to be of all the best." With βοήθεια ἑαυτῷ comp. Apol. 30 A, *τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν*. Ib. D, *περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν*.

D. ἀγανακτοίην ἄν] In the Apology, after his condemnation, he says, *τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο*, 35 E.

E. αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν] Apol. 28 B, *οὔ καλῶς λέγεις, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα ὅτου τι καὶ σμικρὸν ὄφελος κ.τ.λ.*

